Athen. IV. p. 150, D. Ἐν δὲ τῇ τρίτῃ ὁ αὐτὸς Φύλαρχος Ἀριάμνην φησὶ τὸν Γαλάτην πλουσιώτατον ὄντα ἐπαγγείλασθαι ἑστιᾶσαι Γαλάτας πάντας ἐνιαυτὸν, καὶ τοῦτο συντελέσαι ποιήσαντα οὕτως. κατὰ τόπους τῆς χώρας τὰς ἐπικαιροτάτους τῶν ὁδῶν διέλαβε σταθμοῖς, ἐπί τε τούτοις ἐκ χαράκων καὶ τῶν καλάμων τῶν τε οἰσυΐνων ἐπεβάλλετο σκηνὰς χωρούσας ἀνὰ τετρακοσίους ἄνδρας καὶ πλείους ἔτι, καθὼς ἂν ἐκποιῶσιν οἱ τόποι τὸ τ᾽ ἀπὸ τῶν πόλεων δέξασθαι καὶ τῶν κωμῶν μέλλον ἐπιῤῥεῖν πλῆθος. ἐνταῦθα δὲ λέβητας ἐπέστησε κρεῶν παντοδαπῶν μεγάλους, οὓς πρὸ ἐνιαυτοῦ καὶ πρὸ τοῦ μέλλειν μεταπεμψάμενος τεχνίτας ἐξ ἄλλων πόλεων ἐχαλκεύσατο, θύματα δὲ καταβάλλεσθαι ταύρων καὶ συῶν καὶ προβάτων τε καὶ λοιπῶν κτηνῶν ἑκάστης ἡμέρας πολλά, πίθους τε οἴνου παρεσκευάσθαι καὶ πλῆθος ἀλφίτων πεφυραμένων. καὶ οὐ μόνον, φησὶν, οἱ παραγινόμενοι τῶν Γαλατῶν ἀπὸ τῶν κωμῶν καὶ τῶν πόλεων ἀπέλαυον, ἀλλὰ καὶ οἱ παριόντες ξένοι ὑπὸ τῶν ἐφεστηκότων παίδων οὐκ ἠφίεντο, ἕως ἂν μεταλάβωσι τῶν παρασκευασθέντων.

Verba sunt editionis Dindorfianae, dubia autem nonnulla. Pro καὶ τῶν καλάμων τῶν τε οἰσυΐνων scribendum puto καὶ καλάμων οἰσυΐνων τε, si tamen οἰσύϊνα omisso substantivo suo significare potest „virgae sive crates saligneae", quod ex Homeri Od. V, 256, ubi ῥῖπες sunt οἰσύϊναι, non sequitur. Καθώς reprehensum a Phrynicho h. v. — ἐκποιεῖν est sufficere (Athen. IV, p. 167, C). δέξασθαι igitur eo referendum et vertendum est: ut loca sufficerent ad excipiendam multitudinem etc. — Πρὸ

τοῦ μέλλειν. Casaubonus: „Ferri potest fortasse haec lectio „antequam deberet quemquam excipere". Magis tamen probem, quod aliquando reposueram *πρὸ τοῦ ἐπαγγέλλειν.* Non multo ante scriptum est *ἐπαγγεῖλασθαι ἑστιᾶσαι Γαλάτας πάντας*". Schweighaeuser: „Ex iisdem verbis modo a Casaubono citatis intelligi poterat *πρὸ τοῦ μέλλειν ἑστιᾶσαι*". Conferre fortasse operae pretium est Demosth. de Cor. p. 292, R. *τὸ μὲν ἤμελλε τῶν δεινῶν, τὸ δ' ἤδη παρῆν* et Polyb. III, 112, 5. *Βαρύτατος γὰρ δὴ πᾶσιν ἀνθρώποις ὁ τοῦ μέλλειν γίγνεται χρόνος. ὅταν δ' ἅπαξ κριθῇ, ὅ, τι ἂν ᾖ πάσχειν πάντων τῶν δοκούντων εἶναι δεινῶν ὑπομενετέον.* Ubi *τοῦ μέλλειν χρόνος* non verterim cum Schweighaeusero (Adnot. ad h. l.) cunctationis tempus, sed tempus, ubi quid imminet.

Lib. IV.

Athen. VIII, p. 333, A. *Καὶ Φύλαρχος δ' ἐν τετάρτῃ ἑωρακέναι τινὰς πολλαχοῦ τὸν θεὸν ὕσαντα ἰχθύσι, πολλάκις δὲ καὶ πυροῖς, τοῦ αὐτοῦ συμβαίνοντος καὶ ἐπὶ βατράχων.*

Ad piscium, ranarum ac tritici imbres quemadmodum devenerit Phylarchus, docere videtur Appianus, a Schweighaeusero laudatus, Illyr. 4: *Αὐταριέας* (gens Illyr.) *δὲ καὶ ἐκ θεοβλαβείας Ἀπόλλωνος ἐς ἔσχατον κακοῦ περιελθεῖν. Μολιστόμῳ γὰρ αὐτοὺς καὶ Κελτοῖς τοῖς Κίμβροις λεγομένοις ἐπὶ Δελφοὺς συστρατεῦσαι, καὶ φθαρῆναι μὲν αὐτίκα τοὺς πλέονας αὐτῶν πρὸ ἐπιχειρήσεως, ὑετῶν σφίσι καὶ θυέλλης καὶ πρηστήρων ἐμπεσόντων. ἐπιγενέσθαι δὲ τοῖς ὑποστρέψασιν ἄπειρον βατράχων πλῆθος, οἳ διασαπέντες τὰ νάματα διέφθειραν.* De re ipsa vid. quae ab Athenaeo ead. pagina e Phania et Heraclide Lembo laudantur.

Athen. IX. p. 401, D. *Καὶ Αἰτωλῶν δὲ οἶδα στρατηγὸν Σύαγρον, οὗ μνημονεύει Φύλαρχος ἐν τετάρτῃ ἱστοριῶν.*

Lib. VI.

Athen. III, p. 81, E. *Φύλαρχος δ' ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν τὰ κυδώνιά φησι μῆλα τῇ εὐωδίᾳ καὶ τὰς τῶν θανασίμων φαρμάκων δυνάμεις ἀπαμβλύνειν. τὸ γοῦν Φαριακὸν φάρμακον ἐμβληθέν φησιν εἰς ῥίσκον ἔτι ὀδωδότα ἀπὸ τῆς τῶν μήλων τούτων συνθέσεως ἐξίτηλον γενέσθαι, μὴ τηρῆσαν τὴν ἰδίαν δύναμιν. κερασθὲν γοῦν καὶ δοθὲν πιεῖν τοῖς εἰς τοῦτο ἐνεδρευθεῖσιν*

ἀπαθεῖς αὐτοὺς διατηρῆσαι. ἐπιγνωσθῆναι δὲ τοῦτο ὕστερον ἐξ ἀνακρίσεως τοῦ τὸ φάρμακον πωλήσαντος καὶ ἐπιγνόντος τὸ γενόμενον ἐκ τῆς τῶν μήλων συνθέσεως.

De malorum hoc genere ipse Athenaeus multus est ejusd. libri cap. 20-22. De phariaco sive, quod apud Nicandrum est, pharico copiose dixit Schneider ad Nic. Alex. 398. Verba postrema rem denotant, qua ad medicamenti illius cydoniorum malorum mentionem auctor delatus est. Usi quidam erant phariaco isto ad necandum aliquem, quo quum nihil effectum esset, causa reperta est in isto cydoniorum malorum odore.

Athen VI. p. 251, C. *Φύλαρχος δὲ ἐν ἕκτῳ ἱστοριῶν Νικησίαν φησὶ τὸν Ἀλεξάνδρου κόλακα θεασάμενον τὸν βασιλέα σπαρασσόμενον ὑφ᾽ οὗ εἰλήφει φαρμάκου εἰπεῖν, ὦ βασιλεῦ, τί δεῖ ποιεῖν ἡμᾶς, ὅτι καὶ ὑμεῖς οἱ θεοὶ τοιαῦτα πάσχετε; καὶ τὸν Ἀλέξανδρον μόλις ἀναβλέψαντα, ποῖοι θεοί, φῆσαι· φοβοῦμαι μὴ τοῖς θεοῖσιν ἐχθροί.*

Aliam de ejusdem Nicesiae adulatione historiam tradit, Hegesander ap. Ath. p. 249, D. *Φοβοῦμαι μὴ τοῖς θεοῖσιν ἐχθροί* pro tragici cujusdam poetae verbis habet Dindorfius.

Athen. X, p. 438, C. *Φύλαρχος δὲ ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν Ἀντίοχόν φησι τὸν βασιλέα φίλοινον γενόμενον μεθύσκεσθαί τε καὶ κοιμᾶσθαι ἐπὶ πλέον, εἶθ᾽ ἑσπέρας πάλιν ἀφυπνιζόμενον ἐπιπίνειν. ἐχρημάτιζέ τε, φησί, νήφων μὲν βραχέα τελέως, μεθύων δὲ τὰ πολλά. διὸ περὶ αὐτὸν δύο ἦσαν οἱ διοικοῦντες τὴν βασιλείαν, Ἄριστος καὶ Θεμίσων, Κύπριοι μὲν γένος καὶ ἀδελφοί, ἐρώμενοι δὲ ἀμφότεροι τοῦ Ἀντιόχου.*

Antiochus Soter, Seleuci Nicatoris filius et successor in imperio intelligendus est. Flathe Hist. Maced. II, p. 193. Adjici ab hoc p. 198, ubi de regum Seleucid. agitur luxuria, hic Phylarchi locus poterat. Nam ap. Athen. XIII, 86, quo loco usus est, neque de Antiocho isto neque de Seleucidis sermo est. De Themisone e Pythermo Ephesio haec ab Athenaeo VII, p. 289, F. afferuntur: *Καὶ Θεμίσων δ᾽ ὁ Κύπριος, τὰ Ἀντιόχου τοῦ βασιλέως παιδικά, ὥς φησι Πύθερμος ὁ Ἐφέσιος ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν, οὐ μόνον ἐν ταῖς πανηγύρεσιν ἀνεκηρύττετο, Θεμίσων Μακεδών, Ἀντιόχου βασιλέως Ἡρακλῆς, ἔθυον δὲ αὐτῷ πάντες οἱ ἐγχώριοι, ἐπιλέγοντες Ἡρακλεῖ Θεμίσωνι* etc. Saepius enim tum fiebat per adulationem, ut etiam alii quam principes deorum instar colerentur. Athen. VI, p. 253.

Athen. IV. p. 150, D. *Παρὰ δὲ Γαλάταις φησὶ Φύλαρχος ἐν τῇ ἕκτῃ ἐν ταῖς τραπέζαις ἄρτους πολλοὺς κατακεκλασμένους παρατίθεσθαι χύδην καὶ κρέα ἐκ τῶν λεβήτων, ὧν οὐδεὶς γεύεται, ἢν μὴ πρότερον θεάσηται· τὸν βασιλέα, εἰ ἥψατο τῶν παρακειμένων.*

Sermo esse videtur de Gallograecis, qui Antiocho Sotere regnante in Asia minore consederunt. Flathe hist. Maced. II, p. 200-202.

Athen. VI, p. 271, B. *Φύλαρχος δ' ἐν ἕκτῃ ἱστοριῶν καὶ Βυζαντίους φησὶν οὕτω Βιθυνῶν δεσπόσαι ὡς Λακεδαιμονίους τῶν εἱλώτων.*

Vid. Müller. Dor. Tom. II, p. 62.

Athen. X, p. 442, C. *Φύλαρχος ἐν ἕκτῃ Βυζαντίους, οἰνόφλυγας ὄντας, ἐν τοῖς καπηλείοις οἰκεῖν, ἐκμισθώσαντας τοὺς ἑαυτῶν θαλάμους μετὰ τῶν γυναικῶν τοῖς ξένοις, πολεμίας σάλπιγγος οὐδ' ἐν ὕπνοις ὑπομένοντας ἀκοῦσαι.*

Cf. quae mox e Damone (de Byzantio) referuntur ab Athenaeo, et Theopompum Phylarcheis similia tradentem de Byzantiis ap. Athen. X, p. 526, E.

Athen. XIV, p. 614, E. *Φιλόγελως δ' ἦν καὶ Δημήτριος ὁ Πολιορκητής, ὥς φησι Φύλαρχος ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν· ὅς γε καὶ τὴν Λυσιμάχου αὐλὴν κωμικῆς σκηνῆς οὐδὲν διαφέρειν ἔλεγεν· ἐξιέναι γὰρ ἀπ' αὐτῆς πάντας δισυλλάβους (τόν τε Βίθυν χλευάζων καὶ τὸν Πάριν, μεγίστους ὄντας παρὰ τῷ Λυσιμάχῳ, καί τινας ἑτέρους τῶν φίλων), παρὰ δ' αὐτοῦ Πευκέστας καὶ Μενελάους, ἔτι δὲ Ὀξυθέμιδας. Ταῦτα δ' ἀκούων ὁ Λυσίμαχος, Ἐγὼ τοίνυν, ἔφη, πόρνην ἐκ τραγικῆς σκηνῆς οὐχ ἑώρακα ἐξιοῦσαν· τὴν αὐλητρίδα Λαμίαν λέγων. ἀπαγγελθέντος δὲ καὶ τούτου, πάλιν ὑπολαβὼν ὁ Δημήτριος ἔφη, Ἀλλ' ἡ παρ' ἐμοῦ πόρνη σωφρονέστερον τῆς παρ' ἐκείνῳ Πηνελόπης ζῇ.*

Demetrius quod cum comica scena Lysimachi aulam comparavit, e qua disyllabi omnes prodirent, Casaubonus explicavit, servis inprimis graves in comoediis partes, horum autem nomina vel monosyllaba vel disyllaba fuisse monens. De ipsius Demetrii luxuria vid. Democharem ap. Athen. VI, p. 253, A. templa memorantem, quae scortis ejus Leaenae ac Lamiae Athenis exstructa fuerint. Plutarch. Demetr. 24, 27. Athen. XII, p. 535. 536. XIII, p. 577. 578. Phylarchi verbis simillima sunt, quae a Plutarcho referuntur Demetr. 25. *Ἦν δὲ*

πάντων ἀπεχθέστατος ὁ Λυσίμαχος αὐτῷ καὶ λοιδορῶν εἰς τὸν ἔρωτα τῆς Λαμίας ἔλεγεν νῦν πρῶτον ἑωρακέναι πόρνην προερχομένην ἐκ τραγικῆς σκηνῆς· ὁ δὲ Δημήτριος ἔφη σωφρονεστέραν εἶναι τὴν ἑαυτοῦ πόρνην τῆς ἐκείνου Πηνελόπης, decurtata fortasse e Phylarcheis illis. Sed latius etiam rem patere, docet qui mox afferetur Phylarchi e libro ejus quarto decimo locus, in quo eadem apparet utriusque scriptoris consensio. Coraes ad Plutarchi Demetr. 25.

Lib. VII.

Athen. XV, p. 673, F. *Μόνον γὰρ τοῦτ' ἴδιον εἴρηκεν ὅτι Φύλαρχος ἐν τῇ ἑβδόμῃ τῶν ἱστοριῶν οἶδε τὴν κατὰ λύγον ἱστορίαν, καὶ ὅτι οὔτε τὰ Νικαινέτου οἶδεν οὔτε τὰ Ἀνακρέοντος ὁ συγγραφεύς· ἀπέδειξε δὲ καὶ διαφωνοῦντα αὐτὸν κατ' ἔνια τῶν ἱστορηθέντων παρὰ τῷ Μηνοδότῳ.*

Loci explicatio quaerenda est apud ipsum Athenaeum p. 671, E. *Καὶ διὰ τί παρὰ τῷ αὐτῷ ποιητῇ λύγῳ τινες στεφανοῦνται* (sc. apud Anacreontem): *φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῶν μελῶν*

Μεγίσθης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες ἐπειδὴ
Στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος· πρὸς δεσμοὺς γὰρ καὶ πλέγματα ἡ λύγος ἐπιτήδειος. Referuntur mox grammaticorum, qui commentati erant de Anacreonte, Aristarchi, Tenari sententiae, nec eae tamen sufficientes. Veram rei explicationem inventam esse a Menodoto Samio (in libro de Sami insulae memorabilibus), ubi *λύγῳ* ut uterentur in coronis nectendis, Cares, veteres Sami incolas, commotos oraculo quodam Apollinis esse demonstratum sit. Quam Menodoti sententiam, Nicaeneti quoque Samii poetae carmine quodam confirmatam, suffuratum ita esse Hephaestionem grammaticum, ut hoc tantum de suo dixerit, Phylarchum illum salicis usum novisse, quamquam nec Nicaeneti illa nec Anacreontis sciverit, a nonnullis autem eorum, quae apud Menodotum tradita sint, dissensisse. Satis diligens igitur Phylarchus veterum mythorum perscrutator.

Schol. Appollon. IV, 1561. *Εὐρύπυλος Ποσειδῶνος υἱὸς καὶ Κελαινοῦς τῆς Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος δὲ ἐν ἑβδόμῳ Εὔρυτον αὐτὸν καλεῖ, καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα.* Vid. Müller Orchom. p. 348. 349.

Χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·
Ὅθεν καλεῖν Κουρῆτα λαὸν ᾕνεσαν.

Curetes ut attingeret Phylarchus, Aetolorum fortasse ori- ?s copiam fecerant. Strabo X, c. 3. Nominis ratio satis vagata. Cf. Agathon. ap. Athen. XII, p. 528, D. Lobeck laoph. p. 1112. Apud Eustathium p. 1292, 55, quem lau- ıt de Aeschyli loco, pro *παρθένοις ἁβραῖς* est *παρθένον ἁβρᾶς*.

Suidas v. *Τιάρα. κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι ·ἣν ἐφόρουν παρὰ Πέρσαις, οἱ δὲ στρατηγοὶ κεκλιμένην. καὶ μάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς ήνας, ἐπί τινος εὐημερίας συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως έλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰς- ίσαι· ὡς Φύλαρχος ἐν ἑνδεκάτῳ. Τὸ δ' αὐτό φασιν εἶναι καὶ ϑαριν.* Vid. Xenoph. Cyrop. VIII, 3, 13. Plutarch. Themi- ocl. 29 et Sintenis ad h. l. p. 185. 186. Pro *κίθαριν*, quam- ıam hoc non amplius pertinere ad Phylarchum videtur, me- ıs fortasse *κίδαριν* scribitur. Fidem autem facit Suidas, etiam 'lutarchum l. l. Phylarchum ante oculos habuisse, quem certe . 32 laudavit.

Lib. XII.

Athen. XIII, p. 593, B. *Δανάην δὲ τὴν Λεοντίου τῆς Ἐπι- ιουρείου θυγατέρα, ἑταιριζομένην καὶ αὐτὴν, Σώφρων εἶχεν ὁ ἐπὶ τῆς Ἐφέσου· δι' ἣν αὐτὸς ἐσώθη ἐπιβουλευόμενος ὑπὸ Λαο- δίκης, ἡ δὲ κατεκρημνίσθη, ὡς γράφει Φύλαρχος διὰ τῆς δω- δεκάτης τάδε „ἡ πάρεδρος Λαοδίκης Δανάη πιστευομένη ὑπ' αὐ- τῆς τὰ πάντα, Λεοντίου δὲ οὖσα τῆς μετ' Ἐπικούρου τοῦ φυσι- κοῦ σχολασάσης θυγάτηρ, Σώφρονος δὲ γεγονυῖα πρότερον ἐρω- μένη, παρακολουθοῦσα διότι ἀποκτεῖναι βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη, διανεύει τῷ Σώφρονι μηνύουσα τὴν ἐπιβουλήν. ὁ δὲ συλλαβὼν καὶ προσποιηθεὶς συγχωρεῖν περὶ ὧν λέγει, δύ' ἡμέρας παρῃτήσατο εἰς σκέψιν. καὶ συγχωρησάσης, νυκτὸς ἔφυγεν εἰς Ἔφεσον. μαθοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιηθὲν ὑπὸ τῆς Δανάης, κατεκρήμνισε τὴν ἄνθρωπον, οὐδὲν τῶν προγεγενημένων φιλαν- θρώπων ἐπισυμβαλλομένη. τὴν δὲ Δανάην, φασὶν, ὡς ᾔσθετο τὸν ἐπηρτημένον αὐτῇ κίνδυνον, ἀνακρινομένην ὑπὸ τῆς Λαοδί- κης, οὐδ' ἀποκρίσεως αὐτὴν ἀξιῶσαι· ἀπαγομένην τε ἐπὶ τὸν κρημνὸν εἰπεῖν, ὡς δικαίως οἱ πολλοὶ καταφρονοῦσι τοῦ θείου, ὅτε ἐγὼ μὲν τὸν γενόμενόν μοι ἄνδρα σώσασα τοιαύτην χάριτα*

Lib. IX.

Sext. Emp. adv. Math. c. 12. p. 51. *Φύλαρχος δὲ ἐν τῇ ἐνάτῃ, διὰ τὸ τοῦ Φινέως υἱοὺς τυφλωθέντας ἀποκαταστῆσαι χαριζόμενον αὐτῇ τῇ μητρὶ Κλεοπάτρᾳ τῇ Ἐρεχθέως.* Apollod. III, 15, 1. et Heyne Obs. p. 77. 336. 337. Sermo est de restituto ab Aesculapio Phinei viso.

Lib. X.

Athen. VI, p, 261, B. *Καὶ Δημήτριος ὁ Πολιορκητὴς φιλόγελως ἦν, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν.*

Casaubonus: „non sine caussa dubites, num (an) sit scribendum *τῇ ἕκτῃ* ut XIV, p. 614, E. F, nisi potius eo loco menda est."

Athen. XII, p. 536, C. *Φύλαρχος δ' ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν Θρᾳκῶν φησι τῶν καλουμένων Κροβύζων βασιλέα γενέσθαι Ἰσάνθην, τρυφῇ πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβαλλόμενον. ἦν δὲ καὶ πλούσιος καὶ καλός.*

Laudantur de Crobyzis Strabo VII, p. 318, B. et Steph. Byzant.

Athen. XIII, p. 609, B. *Καλλίστη δ' ἦν καὶ Παντίκα ἡ Κυπρία, περὶ ἧς φησι Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν, ὅτι παρ' Ὀλυμπιάδι οὖσαν τῇ Ἀλεξάνδρου μητρὶ ᾔτει πρὸς γάμον Μόνιμος ὁ Πυθίωνος. καὶ ἐπεὶ ἦν ἀκόλαστος ἡ γυνή, ἔφη ἡ Ὀλυμπιάς, ὦ πονηρὲ τοῖς ὀφθαλμοῖς γαμεῖς, καὶ οὐ τῷ νῷ. καὶ τὴν κατάγουσαν δὲ Πεισίστρατον ἐπὶ τὴν τυραννίδα ὡς Ἀθηνᾶς πεῖραν εἶδος ἔχουσαν καλήν φησι γεγονέναι, ἥτις καὶ τῇ θεῷ εἴκασται τὴν μορφήν.*

Πυθίωνος. Num forte *Πύθωνος?* Cujus nomen notissimum tam e Philippi quam ex Alexandri historia. Diod. XVIII, 39. De muliere ista quae traduntur, quae Pisistratum Athenas deduxerit: Herodot. I, 60. Verba *ὡς Ἀθηνᾶς πεῖραν εἶδος ἔχουσαν* vix sana esse videntur. Minus offensionis objicerent, si ita legerentur: *ὡς Ἀθηνᾶς πεῖραν ἔχουσαν καλὴν τὸ εἶδός φησι* etc. Sed sic quoque supervacanea viderentur sequentia *ἥτις καὶ τῇ θεῷ* etc *εἶδος* putem e glossa exortum in contextum venisse.

Lib. XI.

Athen. XII, p. 528, C. *Τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν Αἰσχύλου ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας*

Χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·
Ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν.

Curetes ut attingeret Phylarchus, Aetolorum fortasse origines copiam fecerant. Strabo X, c. 3. Nominis ratio satis pervagata. Cf. Agathon. ap. Athen. XII, p. 528, D. Lobeck Aglaoph. p. 1112. Apud Eustathium p. 1292, 55, quem laudant de Aeschyli loco, pro *παρθένοις ἁβραῖς* est *παρθένου ἁβρᾶς*.

Suidas v. *Τιάρα. κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις, οἱ δὲ στρατηγοὶ κεκλιμένην. καὶ Δημάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς Ἀθήνας, ἐπί τινος εὐημερίας συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰςελάσαι· ὡς Φύλαρχος ἐν ἑνδεκάτῳ. Τὸ δ' αὐτό φασιν εἶναι καὶ κίθαριν.* Vid. Xenoph. Cyrop. VIII, 3, 13. Plutarch. Themistocl. 29 et Sintenis ad h. l. p. 185. 186. Pro *κίθαριν*, quamquam hoc non amplius pertinere ad Phylarchum videtur, melius fortasse *κίδαριν* scribitur. Fidem autem facit Suidas, etiam Plutarchum l. l. Phylarchum ante oculos habuisse, quem certe c. 32 laudavit.

Lib. XII.

Athen. XIII, p. 593, B. *Δανάην δὲ τὴν Λεοντίου τῆς Ἐπικουρείου θυγατέρα, ἑταιριζομένην καὶ αὐτὴν, Σώφρων εἶχεν ὁ ἐπὶ τῆς Ἐφέσου· δι' ἣν αὐτὸς ἐσώθη ἐπιβουλευόμενος ὑπὸ Λαοδίκης, ἡ δὲ κατεκρημνίσθη, ὡς γράφει Φύλαρχος διὰ τῆς δωδεκάτης τάδε „ἡ πάρεδρος Λαοδίκης Δανάη πιστευομένη ὑπ' αὐτῆς τὰ πάντα, Λεοντίου δὲ οὖσα τῆς μετ' Ἐπικούρου τοῦ φυσικοῦ σχολασάσης θυγάτηρ, Σώφρονος δὲ γεγονυῖα πρότερον ἐρωμένη, παρακολουθοῦσα διότι ἀποκτεῖναι βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη, διανεύει τῷ Σώφρονι μηνύουσα τὴν ἐπιβουλήν. ὁ δὲ συλλαβὼν καὶ προςποιηθεὶς συγχωρεῖν περὶ ὧν λέγει, δύ' ἡμέρας παρῃτήσατο εἰς σκέψιν. καὶ συγχωρησάσης, νυκτὸς ἔφυγεν εἰς Ἔφεσον. μαθοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιηθὲν ὑπὸ τῆς Δανάης, κατεκρήμνισε τὴν ἄνθρωπον, οὐδὲν τῶν προγεγενημένων φιλανθρώπων ἐπισυμβαλλομένη. τὴν δὲ Δανάην, φασὶν, ὡς ᾔσθετο τὸν ἐπηρτημένον αὐτῇ κίνδυνον, ἀνακρινομένην ὑπὸ τῆς Λαοδίκης, οὐδ' ἀποκρίσεως αὐτὴν ἀξιῶσαι· ἀπαγομένην τε ἐπὶ τὸν κρημνὸν εἰπεῖν, ὡς δικαίως οἱ πολλοὶ καταφρονοῦσι τοῦ θείου, ὅτε ἐγὼ μὲν τὸν γενόμενόν μοι ἄνδρα σώσασα τοιαύτην χάριτα*

παρὰ τοῦ δαιμονίου λαμβάνω, Λαοδίκη δὲ, τὸν ἴδιον ἀποκτείνασα, τηλικαύτης τιμῆς ἀξιοῦται“.

Laodice, Antiochi Thei uxor, maritum, qui repudiata ipsa Berenicen, Ptolemaei Philadelphi filiam, duxerat, quamquam reconciliatum postea sibi, interfecerat. Flathe II, p. 206. Mox autem ipsa Berenice cum filio occisa, bellum imminebat cum Ptolemaeo Evergete, Berenices fratre. In quo rerum discrimine Sophronem istum Laodice suspectum habuisse videtur. Ephesum tum in potestate Aegyptiorum fuisse, certe e Polyb. V, 34 et 35, quos locos laudavit Schweighaeuser, colligi non potest. — Leontii, Epicuri amicae, satis celebratum apud veteres nomen fuisse videtur. Plutarch. non posse suav. vivi sec. Epicur. p. 1097, D. — *πάρεδρος.* Bekker An. Gr. Tom. I, p. 288 *πάρεδροι οἱ αἱρούμενοι τοῖς ἄρχουσιν οἷον βοηθοὶ καὶ σύμβουλοι καὶ φύλακες.* — *παρακολουθεῖν* (Polyb. I, 12, 7. 67, 12. III, 32, 2. X, 38, 3. Athen. I, p. 6, F) adsequi i. e. cognoscere, intelligere. — *ὁ δὲ συλλαβὼν* „quibus cognitis“. „Dicit auctor, simulasse Sophronem, nutu illo a se petiisse aliquid Danaen, et illi (audientibus aliis) dixit, se illi quidem id gratificaturum, sed tamen biduum sibi petere spatii, quo super ea re amplius deliberaret“. Ita Schweighaeuser. Sed mirum tamen esset, si Sophron biduum sibi expetivisset ad deliberandum de eo, quod nonnisi per nutum ipsi Danae ausa fuisset significare. Excidisse aliquid videtur. Laodice enim, quae tecte eum e medio tollere cuperet, officium sive munus quoddam ei injunxisse videtur. Jam ille, sic enim scriptor pergit, animadvertens quidem, quid illa machinaretur (per Danaen edoctus), sed simulans, morem se ei gerere, biduum sibi ad deliberandum expetivit. — Pro *ἐπισυμβαλλομένη* Schweigh. recte *ἔτι συμβαλλομένη*. *ἐπισυμβ.* non convenit antecedenti *τῶν προγεγενημ.* — *Φασίν.* Phylarcheae narrationis tenor servatur.

Athen. XIII, p. 606, D. *Φύλαρχος γοῦν ἐν τῇ δωδεκάτῃ „Κοίρανος (φησὶν) ὁ Μιλήσιος ἰδὼν ἁλιέας τῷ δικτύῳ λαβόντας δελφῖνα καὶ μέλλοντας κατακόπτειν ἀργύριον, δοὺς καὶ παραστησάμενος ἀφῆκεν εἰς τὸ πέλαγος. καὶ μετὰ ταῦτα ναυαγίᾳ χρησάμενος περὶ Μύκονον καὶ πάντων ἀπολομένων μόνος ὑπὸ δελφῖνος ἐσώθη ὁ Κοίρανος. τελευτήσαντος δὲ αὐτοῦ γηραιοῦ ἐν τῇ πατρίδι καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλατταν γιγνομένης*

κατὰ τύχην ἐν τῇ Μιλήτῳ, ἐν τῷ λιμένι πλῆθος δελφίνων ἐφάνη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μικρὸν ἀπωτέρω τῶν συνεκκομιζόντων τὸν Κοίρανον, ὡσεὶ συνεκφερόντων καὶ συγκηδευόντων τὸν ἄνθρωπον.“

Copiosius res tradita est ab Aeliano H. A. VIII, 3: *Κοίρανος ὄνομα τὸ γένος ἐκ Πάρου δελφίνων τινῶν ἐν Βυζαντίῳ βόλῳ περιπεσόντων καὶ ἑαλωκότων, δοὺς ἀργύριον οἱονεὶ λύτρα τοῖς ἠγρευκόσιν, ἀφῆκεν αὐτοὺς ἐλευθέρους, ἀνθ' ὧν τὴν χάριν ἀπείληφεν. Ἔπλει γοῦν πεντηκόντορον ἔχων, ὡς λόγος, Μιλησίους τινὰς ἄγουσαν ἄνδρας, ἐν δὲ τῷ μεταξὺ τῆς Πάρου πορθμῷ τῆς νεὼς ἀνατραπείσης καὶ τῶν ἄλλων διαφθαρέντων, τὸν Κοίρανον ἔσωσαν δελφῖνες, ὑπὲρ ἧς φθάσαντες εἶχον εὐεργεσίας τὴν ἴσην ἀντιδιδόντες· καὶ ἔνθα ἐξενήξαντο ὀχοῦντες αὐτὸν ἄκρα δείκνυται καὶ ὕπαντρος πέτρα, καὶ καλεῖται ὁ χῶρος Κοιράνειος. χρόνῳ δὲ ὕστερον τεθνεῶτα τόνδε τὸν Κοίρανον θαλάττης πλησίον ἔκαιον· εἶτα μέντοι αἰσθόμενοί ποθεν οἱ δελφῖνες ἠθροίσθησαν, ὥσπερ οὖν ἐπὶ τὸ κῆδος ἥκοντες, καὶ εἰς ὅσον ἡ πυρὰ ἤκμαζεν καιομένη, παρέμειναν ὡς φίλῳ φίλος πιστός· εἶτα μέντοι κατασβεσθείσης, οἱ δὲ ἀπενήξαντο.* Similia his et iisdem fere verbis, ut Aelianus, narrat Plutarchus de solert. an. p. 985, A, addens simul, fabulam jam Archilochum attigisse. Mythica fuisse videtur rei ratio, nec tamen prorsus ficta, quum locus, ad quem delatus fuisset Coeranus, postea quoque ab eo appellatus fuerit. Cohaeret fortasse, ut illa de Arione fabula (Müller Dor. Tom. II, p. 369 not.), cum sacris Neptuni, per quem Coeranum Archilochus dixerat e quinquaginta hominibus solum servatum esse. Alia de delphinorum, qui pariter atque pompili inter sacros pisces referebantur (Athen. VII, p. 282, E), cum hominibus familiaritate vid ap. Plutarchum de sol. an. p. 984. cf. Casaub. ad Athen. p. 283, C.

Aelian. hist. anim. XVII, 5. *Φύλαρχος ἐν τῇ δωδεκάτῃ ὑπὲρ τῶν Αἰγυπτίων ἀσπίδων ᾄδει τοιαῦτα. τιμᾶσθαί φησιν αὐτὰς ἰσχυρῶς, καὶ ἐκ ταύτης γε τῆς τιμῆς ἡμερωτάτας τε καὶ χειροήθεις γίνεσθαι τὰς ἐκ τῆς τροφῆς πεπωλευμένας· τοῖς παιδίοις οὖν συντρεφομένας μηδὲν ἀδικεῖν, καὶ καλουμένας δὲ ἐξέρπειν τῶν φωλεῶν καὶ ἀφικνεῖσθαι· κλῆσις δὲ αὐτῶν ὁ τῶν δακτύλων ἐστὶ κρότος. Προτείνουσι δὲ ἄρα οἱ Αἰγύπτιοι καὶ ξένια αὐταῖς. Ἐπὰν γὰρ ἀπὸ δείπνου γένωνται, ἄλφιτα οἴνῳ καὶ μέλιτι ἀναδεύσαντες κατὰ τῆς τραπέζης τιθέασιν, ἐφ' ἧς ἔτυχον δεδειπνη-*

κότες· εἶνα μέντοι κροτήσαντες οἱονεὶ δαιτυμόνας καλοῦσι· καὶ ἐκεῖναι ὥσπεροῦν ὑπὸ συνθήματι παραγίνονται, καὶ ἄλλη ἀλλαχόθεν ἐξέρπει· καὶ περιστᾶσαι τὴν τράπεζαν, τὴν μὲν λοιπὴν σπεῖραν ἐῶσι κατὰ τοῦ δαπέδου, ἄρασαι δὲ τὴν κεφαλὴν περιλιχμῶνται καὶ ἡσυχῇ καὶ κατ' ὀλίγον ἐμπίπλανται τῶν ἀλφίτων καὶ καταναλίσκουσιν αὐτά. Νύκτωρ δὲ ἐὰν ἐπείγῃ τι τοὺς Αἰγυπτίους κροτοῦσι πάλιν· ὑποσημαίνει δὲ ἄρα ὅδε ὁ ψόφος ἐξίστασθαί τε αὐτὰς καὶ ἀναχωρεῖν· οὐκοῦν συνιᾶσι καὶ ἐκεῖναι τὴν τοῦ κτύπου διαφορὰν καὶ ἐφ' ὅτῳ τοῦτο δρᾶται, καὶ παραχρῆμα ἀναστέλλονται καὶ ἀφανίζονται εἰς τοὺς χηραμούς τε καὶ φωλεοὺς ἕρπουσαι· ὁ γοῦν ἀνιστάμενος οὔτε ἐμβαίνει τινὶ αὐτῶν, οὔτε περιπίπτει. — c. 6. Ὁ κροκόδειλος γίνεται μήκιστος πολλάκις· ἐπὶ γοῦν Ψαμμιτίχου τοῦ Αἰγυπτίων βασιλέως πέντε καὶ εἴκοσι πηχῶν κροκόδειλον φανῆναί φησιν· ἐπὶ δὲ Ἀμάσιδος παλαιστῶν τεττάρων καὶ πηχῶν ἓξ καὶ εἴκοσι.

„Historiam de aspide et nutritoris filio ex eodem Phylarcho narratam ap. Plin. H. N. X, 74, 96 comparat Schneider.“ Jacobs. ad h. l. p. 561, idemq. de reliquis.

Athen. XV, p. 693, E. Παρὰ δὲ τοῖς Ἕλλησιν οἱ θύοντες τῷ Ἡλίῳ, ὥς φησι Φύλαρχος ἐν τῇ δωδεκάτῃ τῶν ἱστοριῶν, μέλι σπένδουσιν, οἶνον οὐ φέροντες τοῖς βωμοῖς, δεῖν λέγοντες τὸν τὰ ὅλα συνέχοντα καὶ διακρατοῦντα θεὸν καὶ ἀεὶ περιπολεύοντα τὸν κόσμον ἀλλότριον εἶναι μέθης.

Libabant igitur νηφαλίους θυσίας, quas Eumenidis offerebant, Musis, aliis. Wachsmuth Hell. Alterthumsk. II, 2. p. 232. Ad hunc librum fortasse etiam locus pertinet a Porphyrio de abst. II, 56 servatus: κοινῶς πάντας τοὺς Ἕλληνας Φύλαρχος πρὶν ἐπὶ πολεμίους ἐξιέναι ἀνθρωποκτονεῖν ἱστορεῖ, repetitus ab Eusebio Praep. Ev. p. 156 et 164.

Lib. XIII.

Athen. VI, p. 254, F. Κόλακας δ' εἶναί φησι Φύλαρχος καὶ τοὺς ἐν Λήμνῳ κατοικοῦντας Ἀθηναίων ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἱστοριῶν. χάριν γὰρ ἀποδιδόντας τοῖς Σελεύκου καὶ Ἀντιόχου ἀπογόνοις, ἐπεὶ αὐτοὺς ὁ Σέλευκος πικρῶς ἐπιστατουμένους ὑπὸ Λυσιμάχου οὐ μόνον ἐξείλετο ἀλλὰ καὶ τὰς πόλεις αὐτοῖς ἀπέδωκεν ἀμφοτέρας, οἱ Λημνόθεν Ἀθηναῖοι οὐ μόνον ναοὺς κατεσκεύασαν τοῦ Σελεύκου, ἀλλὰ καὶ τοῦ υἱοῦ Ἀντιόχου. καὶ τὸν ἐπιχεόμενον κύαθον ἐν ταῖς συνουσίαις Σελεύκου σωτῆρος καλοῦσι.

Τοὺς ἐν Λήμνῳ κατοικοῦντας Ἀθηναίων. Nep. Miltiad. c.2., Thucyd. I, 115. VII, 57., Xenoph. Hell. V, 1, 31. *τὰς πόλεις — ἀμφοτέρας.* Schol. Apollon. I, 604. *Δίπολις γάρ ἐστιν ἡ Λῆμνος. ἔχει γὰρ Ἡφαιστίαν καὶ Μυρίνην.* Cf. Plin. H. N. IV, 12, 23. Steph. Byz. v. *Λῆμνος.* — *ἀποδιδόντας* sensus non admittit ut cum *αὐτούς*, quod sequitur, conjungatur. De gratia enim, quam retulerint Lemnii Seleuci et Antiochi posteris, antequam Seleucus eos Lysimachi imperio liberavisset, cogitari non potest. Legendum est *ἀποδιδόντες* et conjungendum cum *κατεσκεύασαν ναούς. Τοῖς Σελεύκου καὶ Ἀντιόχου ἀπογόνοις.* Intelligendi sunt, quibus mox dicuntur Lemnii templa exstruxisse, Seleucus III. Ceraunus et Antiochus III. Magnus. *Σελεύκου σωτῆρος.* cf. Plat. Charmid. p. 167, A. ibiq. Heindorf p. 101 et 102.

Lib. XIV.

Athen. VI, p. 261, B. *Ἐν δὲ τῇ τεσσαρεςκαιδεκάτῃ γράφει οὕτως „Περιεώρα Δημήτριος τοὺς κολακεύοντας αὐτὸν ἐν τοῖς συμποσίοις καὶ ἐπιχεομένους Δημητρίου μὲν μόνου βασιλέως, Πτολεμαίου δὲ ναυάρχου, Λυσιμάχου δὲ γαζοφύλακος, Σελεύκου δ' ἐλεφαντάρχου. καὶ τοῦτ' αὐτῷ οὐ τὸ τυχὸν συνῆγε μῖσος.*

Similia Plutarchus Demetr. 25: *ἐκεῖνος δὲ* (Demetrius) *χλευάζων καὶ γελῶν τοὺς ἄλλον τινὰ πλὴν τοῦ πατρὸς καὶ αὐτοῦ βασιλέα προςαγορεύοντας, ἡδέως ἤκουε τῶν παρὰ πότον ἐπιχύσεις λαμβανόντων Δημητρίου βασιλέως, Σελεύκου δ' ἐλεφαντάρχου, Πτολεμαίου δὲ ναυάρχου, Λυσιμάχου δὲ γαζοφύλακος, Ἀγαθοκλέους δὲ τοῦ Σικελιώτου νησιάρχου.* Ad quem locum Schaeferus, Phylarchum Plutarchi fontem statuens, haec: „in Phylarchi loco vide, ne *τὸ ὁμοιοτέλευτον* eliserit *Ἀγαθοκλέους δὲ νησιάρχου.* Agathoclis enim mentionem Plutarchum aliunde petivisse, eccui probabile fiat?“ Non incredibilis res est, quamquam non defuisse scriptores, e quibus praeterea hauriret Plutarchus, ex ipso Athenaeo constat, qui Democharem, Hieronymum Cardianum, Heraclidem Lembum, Nicolaum Damascenum nominat. — *Περιεώρα* „fieri passus est, ut“ ex *ὥςπερ ἑώρα,* quod in plerisque codicibus est, Schweighaeuserus recte videtur restituisse. — *ἐπιχεομένους Δημητρίου.* Casaubonus: vinum in mensa libantes Demetrio nominato h. e. in honorem Demetrii. Recte Schweigh. ad *ἐπιχεομ.* monet intelligendum esse *κυάθους.* cf. Coraes ad Plut. Demetr. 25.

Athen. XIII, p. 593, D. Ὁ δ' αὐτὸς Φύλαρχος καὶ περὶ Μύστας ἱστορεῖ ἐν τῇ τεσσαρεςκαιδεκάτῃ οὕτως „Μύστα Σελεύκου τοῦ βασιλέως ἐρωμένη ἦν· ἥτις ὑπὸ Γαλατῶν Σελεύκου νικηθέντος καὶ μόλις ἐκ τῆς φυγῆς διασωθέντος αὐτὴ μεταμφιεσαμένη τὴν βασιλικὴν ἐσθῆτα καὶ ἀναλαβοῦσα θεραπαινίδος τῆς τυχούσης, συλληφθεῖσα ἀνήχθη μετὰ τῶν ἄλλων αἰχμαλώτων, καὶ πραθεῖσα ὁμοίως ταῖς ἑαυταῖς θεραπαινίσιν ἦλθεν εἰς Ῥόδον· ἔνθα ἐκφήνασα ἑαυτὴν, ἥτις ἦν, περισπουδάστως ὑπὸ τῶν Ροδίων τῷ Σελεύκῳ διεπέμφθη.

Seleucus Callinicus, Antiochi II. Thei filius intelligendus est. Qui quum bello congressus esset cum Antiocho Hierace fratre suo, qui Asiae minoris parti praefectus, regium ibi nomen affectaverat, victus ab hoc, cujus exercitus e Gallis constaret, ad Ancyram est. Justin. XXVII, 2. Flathe II, p. 222, qui tamen hunc Phylarchi locum omisit, et Polyaeni VIII, p. 644 ed. Casaub. scripturam *Πύστα* pro *Μύστα*, minus fortasse probabilem, adoptavit.

Lib. XIX.

Athen. XIII. p. 609, A. Φύλαρχος δὲ ἐν τῇ ἐννεακαιδεκάτῃ Τιμῶσάν φησι τὴν Ὀξυάρτου παλλακίδα πάσας γυναῖκας ὑπερβεβληκέναι κάλλει. Ταύτην δ' ἀπεστάλκει δῶρον ὁ τῶν Αἰγυπτίων βασιλεὺς Στατίρᾳ τῇ βασιλέως γυναικί.

Pro *Στατίρᾳ* scribendum videtur *Στατείρᾳ*. Frequentes ejusmodi corruptiones esse constat. Nomen fuit uxoris Darii Codomanni (Plutarch. Alex. 30), filiae ejus (Diodor. XVII, 107). *Ὀξυάρτου* nomine num Oxathres, Darii frater, intelligendus sit (Diodor. XVII, 34. 77) an Oxyartes Bactrianus, cujus filiam Roxanen Alexander uxorem duxit (Diod. XVIII, 3. 39), in medio relinquendum est. — *ὁ τῶν Αἰγυπτίων βασιλεύς*, quod Schweighaeusero visum est, nec praefectus esse hujus provinciae potest, nec in *ὁ τῶν Αἰγ. σατράπης* facile corrigi. Cogitandum videtur de uno quodam eorum regum, quos Aegyptus habuit, antequam per Ochum in potestatem Persarum redigeretur.

Lib. XX.

Athen. XIII, p. 606, F. Ὁ δ' αὐτὸς ἱστορεῖ Φύλαρχος διὰ τῆς εἰκοστῆς, ὅσην ἐλέφας τὸ ζῶον φιλοστοργίαν ἔσχεν εἰς παι-

δίον. γράφει δ' οὕτως „Τούτῳ δὲ τῷ ἐλέφαντι συνετρέφετο θήλεια ἐλέφας, ἣν Νίκαιαν ἐκάλουν· ᾧ τελευτῶσα ἡ τοῦ Ἰνδοῦ γυνὴ παιδίον αὐτῆς τριακοσταῖον παρακατέθετο. ἀποθανούσης δὲ τῆς ἀνθρώπου, δεινή τις φιλοστοργία γέγονε τοῦ θηρίου πρὸς τὸ παιδίον. οὔτε γὰρ ἀπ' αὐτοῦ χωριζόμενον τὸ βρέφος ὑπέμενεν. ὁ δὲ, εἰ μὴ βλέποι τὸ παιδίον, ἤσχαλλεν. ὅτ' οὖν ἡ τροφὸς ἐμπλήσειεν αὐτὸ τοῦ γάλακτος, ἀνὰ μέσον τῶν ποδῶν τοῦ θηρίου ἐτίθει αὐτὸ ἐν σκάφῃ. εἰ δὲ μὴ τοῦτο πεποιήκοι, τροφὴν οὐκ ἐλάμβανεν ἡ ἐλέφας. καὶ μετὰ ταῦτα δι' ὅλης τῆς ἡμέρας τοὺς καλάμους λαμβάνων, καὶ τῶν παρατιθεμένων χορτασμάτων, καθεύδοντος τοῦ βρέφους, τὰς μυίας ἀπεσόβει· ὅτε δὲ κλαίοι, τῇ προβοσκίδι τὴν σκάφην ἐκίνει καὶ κατεκοίμιζεν αὐτό. τὸ δ' αὐτὸ ἐποίει καὶ ὁ ἄῤῥην ἐλέφας πολλάκις.

Eadem narratio est apud Aelianum H. A. XI, 14, a verbis exordiens: Ὅτε γοῦν Ἀντίγονος ἐπολιόρκει Μεγαρέας, ἑνὶ τῶν ἐλεφάντων τῶν πολεμικῶν συνετρέφετο καὶ θῆλυς ὄνομα Νίκαια etc. — ὁ δέ post οὔτε defendi videtur exemplis a Matth. Gr. p. 226. de usu particulae δέ post οὔτε allatis.

Lib. XXI.

Athen. VI, p. 249, D. Φύλαρχος δ' ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, γελάσαντα τὸν Φίλιππον ἐπὶ τούτῳ καλέσαι τε ἐπὶ δεῖπνον τὸν Ἀρκαδίωνα καὶ οὕτω τὴν ἔχθραν διαλύσασθαι.

Explicandae rei inserviunt quae praemittuntur ab Athenaeo: ἀλλ' οὐκ Ἀρκαδίων ὁ Ἀχαιὸς κόλαξ ἦν, περὶ οὗ ὁ αὐτὸς ἱστορεῖ Θεόπομπος καὶ Δοῦρις ἐν πέμπτῃ Μακεδονικῶν. οὗτος δὲ Ἀρκαδίων μισῶν τὸν Φίλιππον ἑκούσιον ἐκ τῆς πατρίδος φυγὴν ἔφυγεν. ἦν δ' εὐφυέστατος καὶ πλείους ἀποφάσεις αὐτοῦ μνημονεύονται. ἔτυχε δ' οὖν ποτ' ἐν Δελφοῖς ἐπιδημοῦντος Φιλίππου παρεῖναι καὶ τὸν Ἀρκαδίωνα, ὃν θεασάμενος ὁ Μακεδὼν καὶ προσκαλεσάμενος, Μέχρι τίνος φεύξῃ, φησὶν, Ἀρκαδίων; καὶ ὅς,

Ἔς τ' ἂν (φησὶ) τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι Φίλιππον.

Cf. Athen. X, p. 436, C.

Harpocr. v. Πάραλος. μέμνηται δὲ τοῦ Παράλου ἥρωος καὶ Φύλαρχος ἐν τῇ εἰκοστῇ πρώτῃ.

Lib. XXII.

Athen. XII, p. 536, D. Ἐν δὲ τῇ δευτέρᾳ καὶ εἰκοστῇ ὁ αὐτὸς Πτολεμαῖόν φησι τὸν δεύτερον Αἰγύπτου βασιλεύσαντα πάντων σεμνότατον γενόμενον τῶν δυναστῶν καὶ παιδείας εἴ

τινα καὶ ἄλλον καὶ αὐτὸν ἐπιμεληθέντα, οὕτως ἐξαπατηθῆναι τὴν διάνοιαν καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς, ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι, καὶ λέγειν, ὅτι μόνος εὕροι τὴν ἀθανασίαν. κατατεινόμενον οὖν ὑπὸ ποδάγρας πλείους ἡμέρας, ὥς ποτ' οὖν ἐῤῥάϊσε καὶ κατεῖδε διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους καὶ τὰ τυχόντα προςφερομένους ἐπί τι τῆς ἄμμου χύδην ἐῤῥιμμένους, εἶπεν, „ὦ τάλας ἐγώ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι.“

Ὑπολαμπάδας, Casaubonus dicit, videri specularia quaedam esse, quod non plane illustrent cubiculum, sed velut sublustris noctis imaginem inducant, alibi se vocem non reperisse; ἀριστοποιουμένους autem dici Aegyptios fortasse per occasionem δημοτελοῦς ἑορτῆς. De postremis verbis ὦ τάλας etc. laudatur Valckenarius ad Eur. Phoen. 1715, qui ex Eustathio ad Od. V, p. 536, F. με adjecit. In ipsa narratione quae inconcinnitas est adeoque perversitas, Athenaeo fortasse, qui omisisse quaedam videtur, magis quam Phylarcho imputanda est.

Athen. XI, p. 462, B. Πολλοῖς δὲ καὶ ὁ ἐν Ἰλλυριοῖς τόπος περιβόητός ἐστιν ὁ καλούμενος Κύλικες, παρ' ᾧ ἐστι τὸ Κάδμου καὶ Ἁρμονίας μνημεῖον, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν.

Fuit igitur locus ille in Encheleorum terra ad Ceraunios montes. Apollon. Rhod. IV, 517.

Lib. XXIII.

Athen. XII. p. 539, B. Φύλαρχος δ' ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῷ δεκάτῳ περὶ Ἀσίας καὶ τοὺς ἑταίρους φησὶ τοὺς Ἀλεξάνδρου ὑπερβαλούσῃ τρυφῇ χρήσασθαι. ὧν εἷς ὢν καὶ Ἅγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι καὶ τοῖς ὑποδήμασιν ἐφόρει. Κλεῖτος δὲ, ὁ Λευκὸς καλούμενος, ὅτε χρηματίζειν μέλλοι, ἐπὶ πορφυρῶν ἱματίων διαπεριπατῶν τοῖς ἐντυγχάνουσι διελέγετο. Περδίκκᾳ δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τοῖς μεγέθεσιν, ὑφ' αἷς περιλαμβάνοντες τόπον ἐν ταῖς καταστρατοπεδείαις ἐγυμνάζοντο· ἠκολούθει δὲ αὐτοῖς καὶ ὑποζύγια πολλὰ, τὰ τὴν κόνιν κομίζοντα πρὸς τὴν ἐν τῇ παλαίστρᾳ χρείαν. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοκυνήγοις οὖσιν αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν, αἷς περιϊστάντες τὰς θήρας ἐκυνήγουν. τὰς δὲ

χρυσᾶς πλατάνους καὶ τὴν χρυσῆν ἄμπελον, ὑφ᾽ ἣν οἱ Περσῶν βασιλεῖς ἐχρημάτιζον πολλάκις καθήμενοι, σμαραγδίνους βότρυς ἐχούσας καὶ τῶν Ἰνδικῶν ἀνθράκων, ἄλλων τε παντοδαπῶν λίθων ὑπερβαλλόντων ταῖς πολυτελείαις, ἐλάττω, φησὶν ὁ Φύλαρχος, φαίνεσθαι τῆς καθ᾽ ἡμέραν ἑκάστοτε γινομένης παρ᾽ Ἀλεξάνδρῳ δαπάνης. ἦν γὰρ αὐτοῦ ἡ σκηνὴ κλινῶν ἑκατὸν, χρυσοῖ δὲ κίονες πεντήκοντα κατεῖχον αὐτήν. οἱ δὲ ὑπερτείνοντες οὐρανίσκοι διάχρυσοι ποικίλμασιν ἐκπεπονημένοι πολυτελέσιν ἐσκέπαζον τὸν ἄνω τόπον· καὶ πρῶτον μὲν Πέρσαι πεντακόσιοι μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεσαν, πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι· μετὰ δὲ τούτους τοξόται τὸν ἀριθμὸν χίλιοι οἱ μὲν φλόγινα ἐνδεδυκότες, οἱ δὲ ὑσγινοβαφῆ, πολλοὶ δὲ καὶ κυάνεα εἶχον περιβόλαια. προειστήκεσαν δὲ τούτων ἀργυράσπιδες Μακεδόνες πεντακόσιοι. κατὰ δὲ μέσην τὴν σκηνὴν χρυσοῦς ἐτίθετο δίφρος, ἐφ᾽ οὗ καθήμενος ἐχρημάτιζεν ὁ Ἀλέξανδρος, τῶν σωματοφυλάκων πανταχόθεν ἐφεστηκότων. ἔξωθεν δὲ κύκλῳ τῆς σκηνῆς τὸ τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφειστήκει, καὶ Μακεδόνες χίλιοι, Μακεδονικὰς στολὰς ἔχοντες, εἶτα μύριοι Πέρσαι, τό τε τὴν πορφύραν ἔχον πλῆθος εἰς πεντακοσίους ἦν, οἷς Ἀλέξανδρος ἔδωκε φορεῖν τὴν στολὴν ταύτην. τοσούτων δὲ ὄντων καὶ τῶν φίλων καὶ τῶν θεραπευόντων οὐδεὶς ἐτόλμα προςπορεύεσθαι Ἀλεξάνδρῳ· τοιοῦτον ἐγεγόνει τὸ περὶ αὐτὸν ἀξίωμα. ἔγραψε δὲ καὶ τότε Ἀλέξανδρος ταῖς ἐν Ἰωνίᾳ πόλεσι καὶ πρώτοις Χίοις, ὅπως αὐτῷ πορφύραν ἀποστείλωσιν, ἤθελε γὰρ τοὺς ἑταίρους ἅπαντας ἁλουργεῖς ἐνδῦσαι στολάς. ἀναγνωσθείσης δὲ τῆς ἐπιστολῆς Χίοις παρὼν Θεόκριτος ὁ σοφὸς νῦν ἐγνωκέναι ἔφη τὸ παρ᾽ Ὁμήρῳ εἰρημένον, Τὸν δ᾽

Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

Ut in aliis Phylarchi fragmentis, ita in hoc quoque, in quo Agatharchide simul Caidip se usum esse dicit, magis sensum quam verba scriptoris Athenaeus retulisse videtur. Solum tamen Phylarchum sequi se profitetur inde a verbis τὰς δὲ χρυσᾶς πλατάνους, eundemque etiam in priori parte primarium ejus fontem fuisse, e comparato Aeliani (V. H. IX, 3) loco colligi posse videtur. Hic enim, quamquam auctoris nomen tacuit, ita tamen potissima quaeque inde ab initio hujus fragmenti usque ad verba ἔγραψε δὲ καὶ τότε retulit, ita etiam magnam partem ipsa verba servavit, ut in compendium tantum redigisse illa videatur, unde, nisi Aelianum et ipsum statua-

mus cum Phylarcho simul Agatharchidem usurpavisse, Athenaeum quoque in isto fragmento, etiam in priori ejus parte, Phylarchi potissimum verba indicasse appareat. De epistola ab Alexandro ad Chios data quae narrantur, Aelianus quidem non habet, hoc autem nexu conjuncta ea sunt cum superioribus, ut eidem non injuria auctori tribuantur. De Agatharchide vid. Voss. hist. Gr. p. 128.

Τοὺς ἑταίρους socios et amicos Alexandri; quamquam singulari alioquin usu nobilitas eo nomine significari videtur Macedonica, quae custodiam corporis regis equestrem efficeret. De Hetaeria Perdiccae regis locus est ap. Athen. XI, p. 508, E. Diod. XVIII, 2. *οἱ δὲ μέγιστον ἔχοντες ἀξίωμα τῶν φίλων καὶ σωματοφυλάκων συνεδρεύσαντες καὶ προςλαβόμενοι τὸ τῶν ἑταίρων ὀνομαζομένων σύστημα.* cf. c. 2. extr. c. 3. *Σέλευκον δ' ἔταξεν ἐπὶ τὴν ἱππαρχίαν τῶν ἑταίρων, οὖσαν ἐπιφανεστάτην,* cui videlicet primum Hephaestio deinde Perdiccas praefuerant. Diodor. XVII, 57 *ἐπὶ μὲν οὖν τὸ δεξιὸν κέρας ἔταξε τὴν βασιλικὴν ἴλην, ἧς εἶχε* etc. *ἐχομένους δὲ ταύτης τοὺς ἄλλους ἑταίρους.* Ut Persae quoque inter Hetaeros reciperentur, factum tantum est, ut Macedonibus illi exaequarentur. Plut. Al. 45. Distinguendi autem sunt ab illis *ἑταίροις* et *πεζέταιροι*, quos commemoravit Demosthenes (p. 23 R.), milites fortasse mercenarii, et *σωματοφύλακες*, quibus plane inter familiares regum locus fuisse videtur. — *Ἄγνων*, cujus nomen etiam apud Aelianum est, idem fortasse est, qui ap. Diodor. XVIII, 3. *Ἄρχων* praefectus Babyloniae et ap. Just. XIII, 4 Archos Pelasgorum (num forte Pelagonum?) dux dicitur. — *Κλεῖτος ὁ Λευκός* sic cognominatus in discrimen ejus, quem Alexander interfecit (*Κλεῖτος ὁ μέλας* Diod. XVII, 20. 57). Idem esse videtur, qui apud Just. XIII, 6, praefectus classis regiae et ap. Diod. XVIII, 15 copias Atheniensium navales fudisse dicitur. — *αὐλαῖαι* plagae venatoriae. — *τὰς δὲ χρυσᾶς πλατάνους καὶ τὴν χρυσῆν ἄμπελον.* vid. Athen. XII, p. 514, E. F. Brisson. de regno Pers. I, 77. *μηλοφόροι* Herodot. VII, 41. Athen. XII, p. 514, B. C. — *Θεόκριτος ὁ σοφός.* Strabo XIV, c. 1. p. 645 (p. 183 ster.) *Ἄνδρες δὲ Χῖοι γεγόνασιν ἐλλόγιμοι, Ἴων δὲ ὁ τραγικὸς καὶ Θεόπομπος ὁ συγγραφεὺς καὶ Θεόκριτος ὁ σοφιστής· οὗτοι δὲ καὶ ἀντεπολιτεύσαντο ἀλλήλοις.* cf. Athen. VI, p. 230, F. VIII, p. 344, B.

Athen. XIII, p. 610, D. Ὅστις οὖν οὐδὲ τοῦτ' οἶδας, καίτοι συνεχῶς Φυλάρχου μνήμην ποιούμενος, ὅτι ἐν ταῖς Κείων πόλεσιν οὔτε ἑταίρας οὔτε αὐλητρίδας ἰδεῖν ἐστι. Καὶ ὁ Μυρτίλος, τοῦτο δὲ ποῦ εἴρηκεν ὁ Φύλαρχος; καταγνώσκω γὰρ αὐτοῦ πᾶσαν τὴν ἱστορίαν. εἰπόντος δὲ, Ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ, ὁ Μυρτίλος ἔφη etc.

Καίτοι συνεχῶς etc. Phylarchus igitur, talium rerum copiosissimus auctor, aliquoties propterea a Myrtilo laudatus erat. Multus enim hic fuerat de hetaeris ac tibicinis.

Lib. XXV.

Athen. XII, p. 521, B. Φύλαρχος δ' ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν, εἰπὼν ὅτι παρὰ Συρακοσίοις νόμος ἦν τὰς γυναῖκας μὴ κοσμεῖσθαι χρυσῷ, μηδ' ἀνθινὰ φορεῖν, μηδ' ἐσθῆτας ἔχειν πορφυρᾶς ἐχούσας παρυφὰς, ἐὰν μή τις αὐτῶν συγχωρῇ ἑταίρα εἶναι κοινή, καὶ ὅτι ἄλλος ἦν νόμος τὸν ἄνδρα μὴ καλλωπίζεσθαι, μηδ' ἐσθῆτι περιέργῳ χρῆσθαι καὶ διαλλαττούσῃ, ἐὰν μὴ ὁμολογῇ μοιχεύειν ἢ κίναιδος εἶναι. καὶ τὴν ἐλευθέραν μὴ ἐκπορεύεσθαι ἡλίου δεδυκότος, ἐὰν μὴ μοιχευθησομένην (ἐκωλύετο δὲ καὶ ἡμέρας ἐξιέναι ἄνευ τῶν γυναικονόμων, ἀκολουθούσης αὐτῇ μιᾶς θεραπαινίδος). Συβαρῖται, φησὶν, ἐξοκείλαντες εἰς τρυφὴν, ἔγραψαν νόμον τὰς γυναῖκας εἰς τὰς ἑορτὰς καλεῖν, καὶ τοὺς εἰς τὰς θυσίας καλοῦντας πρὸ ἐνιαυτοῦ τὴν παρασκευὴν ποιεῖσθαι, ἵνα ἀξίως ποιούμενοι τοῦ χρόνου τῶν θ' ἱματίων καὶ τοῦ λοιποῦ κόσμου προάγωσιν οὕτως εἰς τὰς κλήσεις. εἰ δέ τις τῶν ὀψοποιῶν ἢ μαγείρων ἴδιον εὕροι βρῶμα καὶ περιττὸν, τὴν ἐξουσίαν μὴ εἶναι χρήσασθαι τούτῳ ἕτερον πρὸ ἐνιαυτοῦ, ἀλλ' αὐτῷ τῷ εὑρόντι τὸν χρόνον τοῦτον, ὅπως ὁ πρῶτος εὑρὼν καὶ τὴν ἐργασίαν ἔχῃ, πρὸς τὸ τοὺς ἄλλους φιλοπονοῦντας αὐτοὺς ὑπερβάλλεσθαι τοῖς τοιούτοις. ὡσαύτως δὲ μηδὲ τοὺς τὰς ἐγχέλεις πωλοῦντας τέλος ἀποτίνειν, μηδὲ τοὺς θηρεύοντας. τὸν αὐτὸν τρόπον καὶ τοὺς τὴν πορφύραν τὴν θαλαττίαν βάπτοντας καὶ τοὺς εἰσάγοντας ἀτελεῖς ἐποίησαν. Πάνυ οὖν ἐξοκείλαντες εἰς ὕβριν, τὸ τελευταῖον παρὰ Κροτωνιατῶν τριάκοντα πρεσβευτῶν ἡκόντων ἅπαντας αὐτοὺς ἀπέκτειναν καὶ πρὸ τοῦ τείχους τὰ σώματα ἐξέῤῥιψαν καὶ ὑπὸ θηρίων εἴασαν διαφθαρῆναι. αὕτη δ' αὐτοῖς καὶ τῶν κακῶν ἐγένετο ἀρχὴ, μηνίσαντος τοῦ δαιμονίου. ἔδοξαν γοῦν μετ' ὀλίγας ἡμέρας πάντες αὐτῶν οἱ ἄρχοντες τὴν αὐτὴν ἰδεῖν ὄψιν ἐν τῇ αὐτῇ νυκτί· τὴν

γὰρ Ἥραν ἰδόντες ἐλθοῦσαν εἰς μέσην τὴν ἀγορὰν καὶ ἐμοῦσαν χολήν. ἀνέβλυσε δὲ καὶ αἵματος πηγὴ ἐν τῷ ἱερῷ αὐτῆς. καὶ οὐδὲ οὕτως ἔληξαν τῆς ὑπερηφανίας, ἕως πάντες ὑπὸ Κροτωνιατῶν ἀπώλοντο.

Frugalitati Syracusanorum patet effusam Sybaritarum luxuriam opponi, ita ut *Φύλαρχος δὲ ἐν τῇ* etc. cum *Συβαρῖται, φησὶν*, etc. conjungenda sint. — *ἑταίρα κοινή*. De Hierodulis non cogitandum esse videtur cum Casaubono. Athenis quoque constat ejusmodi vestibus hetaeras usas esse. Wachsmuth Hell. Alterthumsk. II, 2. p. 48. — *ἵνα ἀξίως — εἰς τὰς κλήσεις*. Quum apud Plutarchum (sept. sap. conv. p. 147, E) legatur *Συβαρῖται μὲν γὰρ πρὸ ἐνιαυτοῦ τὰς κλήσεις ποιοῦνται τῶν γυναικῶν, ὅπως ἐγγένοιτο κατὰ σχολὴν παρεσκευασμένας ἐσθῆτι καὶ χρυσῷ φοιτᾶν ἐπὶ τὸ δεῖπνον*, Casaubonus sic emendandum putavit: *καὶ τοὺς εἰς τὰς θυσίας καλοῦντας πρὸ ἐνιαυτοῦ τὴν κλῆσιν ποιεῖσθαι, ἵνα ἀξίως ποιούμενοι τοῦ χρόνου τὴν παρασκευὴν τῶν τε ἱματίων καὶ τοῦ λοιποῦ κόσμου, προάγωσιν οὕτως εἰς τὰς κλήσεις*. Sed nec satis ille locus valet ad defendendam hanc emendationem, in quo duae res confunduntur, mulierum illa ad festos dies concelebrandos invitatio, et sacrificiorum ante annum instituendorum consuetudo, nec multo inde expeditior sensus exsistit. *Τοῦ χρόνου* in vulgata lectione pendet ab *ἀξίως*, ad *ποιούμενοι* autem intelligi posse putem *τὴν παρασκευήν*, unde simul genitivus explicetur *τῶν θ' ἱματίων καὶ τοῦ λοιποῦ κόσμου*. De luxuria Sybaritarum ipse uberrime disputavit Athenaeus v. c. XII, p. 519, E, ubi haec ad sequentia verba Plutarchi faciunt: *ἐν οἷς* (sc. *δείπνοις*) *στεφανοῦσθαι καὶ τῶν μαγείρων τοὺς ἄριστα τὰ παρατεθέντα διασκευάσαντας*. Belli Sybaritarum cum Crotoniatis alia traditur caussa apud Diod. XII, 9.

Athen. VI, p. 271, E. *Λέγει δὲ περὶ αὐτῶν* (sc. *Μοθάκων*) *Φύλαρχος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν οὕτως, „Εἰσὶ δ' οἱ Μόθακες σύντροφοι τῶν Λακεδαιμονίων. ἕκαστος γὰρ τῶν πολιτικῶν παίδων, ὡς ἂν καὶ τὰ ἴδια ἐκποιῶσιν, οἱ μὲν ἕνα, οἱ δὲ δύο, τινὲς δὲ πλείους ποιοῦνται συντρόφους αὐτῶν. εἰσὶν οὖν οἱ Μόθακες ἐλεύθεροι μέν, οὐ μὴν Λακεδαιμόνιοι, μετέχουσι δὲ τῆς παιδείας πάσης. Τούτων ἕνα φασὶ γενέσθαι καὶ Λύσανδρον τὸν καταναυμαχήσαντα τοὺς Ἀθηναίους, πολίτην γενόμενον δι' ἀνδραγαθίαν.“*

De Mothacibus sive Mothonibus vid. Müller. Dor. II, p. 45 et not. Quid commovisse videatur Phylarchum, ut mentionem faceret eorum, vid. supra in Proleg.

Athen. IV, p. 141, F. *Φύλαρχος γοῦν ἐν τῇ πεντεκαιδεκάτῃ καὶ εἰκοστῇ* (scr. *πέμπτῃ καὶ εἰκοστῇ*) *τῶν ἱστοριῶν τάδε γράφει περὶ αὐτῶν* (sc. *τῶν Λακεδαιμονίων*): „*Λακεδαιμόνιοι εἰς μὲν τὰ φειδίτια οὐκ ἤρχοντο κατὰ τὸ πάτριον ἔθος· ὅτε δὲ καὶ παραγένοιντο, μικρὰ συμπεριενεχθεῖσι νόμου χάριν παρεσκευάζετο καὶ ἄλλα αὐτοῖς, στρωμναί τε τοῖς μεγέθεσιν οὕτως ἐξησκημέναι πολυτελῶς καὶ τῇ ποικιλίᾳ διαφόρως, ὥστε τῶν ξένων ἐνίους τῶν παραληφθέντων ὀκνεῖν τὸν ἀγκῶνα ἐπὶ τὰ προςκεφάλαια ἐρείδειν. οἱ δὲ πρότερον ἐπὶ τοῦ κλιντηρίου ψιλοῦ διακαρτεροῦντες τῆς κλίνης παρ᾽ ὅλην τὴν συνουσίαν, ὅτε τὸν ἀγκῶνα ἅπαξ ἐρείσειαν, εἰς τὴν προειρημένην τρυφὴν ἦλθον, ποτηρίων τ᾽ ἐκθέσεις πολλῶν καὶ βρωμάτων παντοδαπῶς πεποιημένων παραθέσεις, ἔτι δὲ μύρων ἐξηλλαγμένων, ὡς δ᾽ αὔτως οἴνων καὶ τραγημάτων. καὶ τούτων ἦρξαν οἱ μικρὸν πρὸ Κλεομένους βασιλεύσαντες, Ἀρεὺς καὶ Ἀκρόταττος, αὐλικὴν ἐξουσίαν ζηλώσαντες· οὓς τοσοῦτον αὖθις ὑπερῆράν τινες τῶν ἰδιωτῶν τῶν ἐν Σπάρτῃ γενομένων κατ᾽ ἐκεῖνον τὸν χρόνον τῇ πολυτελείᾳ τῇ καθ᾽ αὑτούς, ὥστε δοκεῖν τὸν Ἀρέα καὶ τὸν Ἀκρόταττον εὐτελείᾳ πάντας ὑπερβεβληκέναι τοὺς ἀφελεστάτους τῶν πρότερον. Κλεομένης δὲ πολὺ διενέγκας τῷ τε συνιδεῖν πράγματα, καίτοι νέος ὤν, καὶ κατὰ τὴν δίαιταν ἀφελέστατος γέγονεν. ἤδη γὰρ τηλικούτων πραγμάτων ἡγούμενος ἔμφασιν τοῖς παραλαμβανομένοις πρὸς τὴν θυσίαν ἐποίει, διότι τὰ παρ᾽ ἐκείνοις τῶν παρ᾽ αὐτὸν οὐδὲν καταδεέστερα εἴη παρασκευαζόμενα. πολλῶν δὲ πρεσβειῶν παραγινομένων πρὸς αὐτόν, οὐδέποτε ἐνωρίστερον τοῦ κατειθισμένου συνῆγε καιροῦ, πεντακλίνου τε διεστρώννυτο οὐδέποτε πλεῖον· ὅτε δὲ μὴ παρείη πρεσβεία, τρίκλινον, καὶ πρόςταγμα οὐκ ἐγένετο δι᾽ ἐδεάτρου, τίς εἴσεται καὶ κατακλιθήσεται πρῶτος, ἀλλ᾽ ὁ πρεσβύτατος ἡγεῖτο ἐπὶ τὰς κλίνας, εἰ μή τιν᾽ αὐτὸς προςκαλέσαιτο. κατελαμβάνετο δὲ ἐπὶ τὸ πολὺ μετ᾽ ἀδελφοῦ κατεικείμενος ἢ μετά τινος τῶν ἡλικιωτῶν. ἐπί τε τῷ τρίποδι ψυκτὴρ χαλκοῦς ἐπέκειτο καὶ κάδος καὶ σκαφίον ἀργυροῦν δύο κοτύλας χωροῦν καὶ κύαθος, ἡ δ᾽ ἐπίχυσις χαλκῆ. πιεῖν δὲ οὐ προςεφέρετο, εἰ μή τις αἰτήσειεν· ἐδίδοτο δὲ κύαθος εἷς πρὸ τοῦ δείπνου· τὸ δὲ πολὺ πρώτῳ· καὶ ὅτε προςνεύσειεν ἐκεῖνος, οὕτως ᾔτουν καὶ οἱ λοιποί. τὰ δὲ*

παρατιθέμενα ἐπὶ μὲν τραπεζίου ἦν τοῦ τυχόντος, τὰ δὲ λοιπὰ ὥστε μήθ' ὑπεραίρειν μήτε λείπειν, ἀλλ' ἱκανὰ ἅπασι γίνεσθαι καὶ μὴ προςδεῖσθαι τοὺς παρόντας. οὔτε γὰρ οὕτως ᾤετο δεῖν, ὥσπερ ἐν τοῖς φειδιτίοις, δέχεσθαι ζωμῷ καὶ κρεαδίοις ἀφελῶς οὔτε πάλιν οὕτως ὑπερτείνειν, ὡς εἰς τὸ μηδὲν δαπανᾷν, ὑπερβάλλοντα τὸ σύμμετρον τῆς διαίτης. τὸ μὲν γὰρ ἀνελεύθερον ἐνομίζετο, τὸ δ' ὑπερήφανον. ὁ δ' οἶνος ἦν μικρῷ βελτίων, ὅτε παρείησάν τινες. ἐπεὶ δὲ δειπνήσειαν ἐσιώπων πάντες. ὁ δὲ παῖς ἐφειστήκει κεκραμένον ἔχων τὸ ποτὸν καὶ τῷ αἰτοῦντι προςέφερε. τὸν αὐτὸν δὲ τρόπον καὶ μετὰ τὸ δεῖπνον οὐ πλεῖον ἐδίδοτο δύο κυάθων, καὶ τοῦτο προςνεύσαντι προσεφέρετο. ἀκρόαμα δὲ οὐδὲν οὐδέποτε παρεπορεύετο, διετέλει δ' αὐτὸς προςομιλῶν πρὸς ἕκαστον καὶ πάντας ἐκκαλούμενος εἰς τὸ τὰ μὲν ἀκούειν, τὰ δὲ λέγειν αὐτοὺς, ὥστε τεθηρευμένους ἀποτρέχειν ἅπαντας."

Conjuncta ita haec omnia inter se videntur, ut vix credibile sit, e diversis ea libris deprompta esse. Eo enim praeclarius elucebat Cleomenis frugalitas, quo majorem tum Spartanos luxuriam invasisse apparebat. Legendum igitur fuerit πέμπτῃ pro πεντεκαιδεκάτῃ et liber quintus et vicesimus intelligendus. Confirmare hoc praeterea et temporum ratio et ille de Mothacibus locus videtur. — μικρὰ συμπεριενεχθεῖσι parumper versatis circa ea (sc. phiditia). Laudat Schweigh. συμπεριφέρεσθαι δείπνῳ IV, p. 121, A, interesse convivio et Lexic. Polyb. v. συμπεριφορά. — κλιντήριον ψιλὸν κλίνης lecti pars ea, in qua cubito innitebantur discumbentes, culcitris vacua. — ποτηρίων τ' ἐκθέσεις πολλῶν poculorum multorum cum jactantia quadam expositiones. — μύρα ἐξηλλαγμένα unguenta inusitata, nova, rara. — ἐξουσίαν αὐλικὴν qualis in aulis regum Macedonicorum, Asianorum, aliorum esset. — τῶν πρότερον intelligendum videtur βασιλέων. Polyb. VI, 9. 2. Ea fuit privatorum quorundam civium Spartanorum luxuria, ut quae Arei fuit et Acrotati, comparata cum illa, frugalitas videretur, ita ut e superioribus regibus etiam qui tenuissime vixissent superasse eo viderentur. — πολλῶν δὲ πρεσβειῶν etc. Plutarch. Cleom. 13. τῶν δὲ δείπνων αὐτοῦ τὸ μὲν καθημερινὸν ἦν ἐν τρικλίνῳ σφόδρα συνεσταλμένον καὶ Λακωνικόν· εἰ δὲ πρέσβεις ἢ ξένους δέχοιτο, δύο μὲν ἄλλαι προςπαρεβάλλοντο κλίναι, μικρῷ δὲ μᾶλλον οἱ ὑπηρέται τὴν τράπεζαν ἐπελάμπρυνον, οὐ κα-

ρυκείαις τισὶν οὐδὲ πέμμασιν. ἀλλ᾽ ὥστ᾽ ἀφθονωτέρας εἶναι τὰς παραθέσεις καὶ φιλανθρωπότερον τὸν οἶνον. — De συνάγειν laudat Schweigh. V, p. 186, B. C., IV. p. 143, A. — δι᾽ ἐδεάτρου. Explicant lexicographi, Hesych. ἐπιμελητὴς δείπνου. Festus: Edeatre, qui praesunt regiis epulis. Steph. Thes. — μετ᾽ ἀδελφοῦ hunc enim in regni societatem acceperat. Plutarch. Cleom. 11. — ἐπί τε τῷ τρίποδι etc. Plutarch. Cleom. 13: ἀπαρθείσης δὲ τῆς τραπέζης εἰςεκομίζετο τρίπους κρατῆρα χαλκοῦν ἔχων οἴνου μεστὸν καὶ φιάλας ἀργυρᾶς δικοτύλους δύο καὶ ποτήρια τῶν ἀργυρῶν ὀλίγα παντάπασιν, ἐξ ὧν ἔπινεν ὁ βουλόμενος, ἄκοντι δ᾽ οὐδεὶς ποτήριον προςέφερεν. — πρώτῳ sc. ἐδίδοτο. — προςνεύειν puero adnuere, qui vina ministrabat. — τὰ λοιπά, pro quo Causabonus τὰ λοιπάδια conjiciebat, de potione intelligendum esse videtur, et quae reliqua v. c. unguenta ad epularum apparatum pertinebant. cf. Plutarch. ὥστ᾽ ἀφθονωτέρας εἶναι τὰς παραθέσεις καὶ φιλανθρωπότερον τὸν οἶνον, et antea: ποτηρίων τ᾽ ἐκθέσεις πολλῶν etc. — οὔτε γὰρ οὕτως etc. Plutarch. l. l. καὶ γὰρ ἐπετίμησέ τινι τῶν φίλων ἀκούσας, ὅτι ξένους ἑστιῶν ζωμὸν αὐτοῖς μέλανα καὶ μάζαν, ὥσπερ ἔθος ἦν ἐν τοῖς φιδιτίοις, παρέθηκεν· οὐ γάρ, ἔφη, δεῖν ἐν τούτοις οὐδὲ πρὸς τοὺς ξένους λίαν ἀκριβῶς λακωνίζειν. — ἀκρόαμα δ᾽ οὐδὲν etc. Plutarch.: Ἀκρόαμα δ᾽ οὔτ᾽ ἦν οὔτ᾽ ἐπεζητεῖτο· ἐπαιδαγώγει γὰρ αὐτὸς ὁμιλίᾳ τὸν πότον, τὰ μὲν ἐρωτῶν τὰ δὲ διηγούμενος, οὔτε τὴν σπουδὴν ἀηδῆ τῶν λόγων τήν τε παιδιὰν ἐπίχαριν καὶ ἀσόλοικον ἐχόντων. — τεθηρευμένους. Admonet Schweigh. Xenophontei θηρᾶν φίλους Mem. III, 11. 7. 9 cf. II, 6. 28. 29. Plat. de leg. VII, p. 823 Steph. p. 70. 20. Bekk. Sed idem habet Plutarchus l. l. ἃς μὲν γὰρ οἱ λοιποὶ τῶν βασιλέων ἐπὶ τοὺς ἀνθρώπους θήρας ἐποιοῦντο χρήμασι etc.

Lib. XXVIII.

Athen. VI, p. 451, C. Ἐν δὲ τῇ ὀγδόῃ καὶ εἰκοστῇ ὁ αὐτὸς Φύλαρχος Ἀντιγόνου τοῦ κληθέντος Ἐπιτρόπου, τοῦ τοὺς Λακεδαιμονίους ἑλόντος, κόλακα γενέσθαι Ἀπολλοφάνη τινά, τὸν εἰπόντα τὴν Ἀντιγόνου τύχην ἀλεξανδρίζειν. Vid. supra Proleg.

Fragmenta incertae sedis.

Polyb. II, 56, 6. *Βουλόμενος δὴ διασαφεῖν τὴν ὠμότητα τὴν Ἀντιγόνου καὶ Μακεδόνων, ἅμα δὲ τούτοις τὴν Ἀράτου καὶ τῶν Ἀχαιῶν, φησί· τοὺς Μαντινέας, γενομένους ὑποχειρίους, μεγάλοις περιπεσεῖν ἀτυχήμασι, καὶ τὴν ἀρχαιοτάτην καὶ μεγίστην πόλιν τῶν κατὰ τὴν Ἀρκαδίαν τηλικαύταις παλαῖσαι συμφοραῖς, ὥστε πάντας εἰς ἔκστασιν καὶ δάκρυα τοὺς Ἕλληνας ἀγαγεῖν. σπουδάζων δ' εἰς ἔλεον ἐκκαλεῖσθαι τοὺς ἀναγινώσκοντας καὶ συμπαθεῖς ποιεῖν τοῖς λεγομένοις, εἰςάγει περιπλοκὰς γυναικῶν καὶ κόμας διεῤῥιμμένας καὶ μαστῶν ἐκβολάς· πρὸς δὲ τούτοις δάκρυα καὶ θρήνους ἀνδρῶν καὶ γυναικῶν, ἀναμὶξ ἅμα τέκνοις καὶ γονεῦσι γηραιοῖς ἀπαγομένων. ποιεῖ δὲ τοῦτο παρ' ὅλην τὴν ἱστορίαν, πειρώμενος ἑκάστοις ἀεὶ πρὸ ὀφθαλμῶν τιθέναι τὰ δεινά.*

Id. II, 59, 1. *Πάλιν Ἀριστόμαχον τὸν Ἀργεῖον, φησὶν, ἄνδρα τῆς ἐπιφανεστάτης οἰκίας ὑπάρχοντα καὶ τετυραννηκότα μὲν Ἀργείων, πεφυκότα δὲ ἐκ τυράννων, ὑποχείριον Ἀντιγόνῳ καὶ τοῖς Ἀχαιοῖς γενόμενον, εἰς Κεγχρεὰς ἀπαχθῆναι, καὶ στρεβλούμενον ἀποθανεῖν· ἀδικώτατα καὶ δεινότατα παθόντα πάντων ἀνθρώπων. Τηρῶν δὲ καὶ περὶ ταύτην τὴν πρᾶξιν ὁ συγγραφεὺς τὸ καθ' αὐτὸν ἰδίωμα, φωνάς τινας πλάττει, διὰ τῆς νυκτὸς αὐτοῦ στρεβλουμένου προςπιπτούσας τοῖς σύνεγγυς κατοικοῦσιν, ὧν τοὺς μὲν ἐκπληττομένους τὴν ἀσέβειαν, τοὺς δ' ἀπιστοῦντας, τοὺς δ' ἀγανακτοῦντας ἐπὶ τοῖς γιγνομένοις, προςτρέχειν πρὸς τὴν οἰκίαν φησί.* Add. II, 62, 11.

Id. II, 61, 4. *Ὁ δὲ, πῶς μὲν ἔλαβε Κλεομένης τὴν πόλιν* (Megalopolim), *καὶ πῶς ἀκέραιον διαφυλάξας, ἐξαπέστειλε παραχρῆμα πρὸς τοὺς Μεγαλοπολίτας εἰς τὴν Μεσσήνην γραμματοφόρους, ἀξιῶν αὐτοὺς ἀβλαβῆ κομισαμένους τὴν ἑαυτῶν πατρίδα, κοινωνῆσαι τῶν ἰδίων πραγμάτων· ταῦτα μὲν ἡμῖν ἐδήλωσε, βουλόμενος ὑποδεῖξαι τὴν Κλεομένους μεγαλοψυχίαν καὶ μετριότητα πρὸς τοὺς πολεμίους. ἔτι δὲ, πῶς οἱ Μεγαλοπολῖται τῆς ἐπιστολῆς ἀναγινωσκομένης, οὐκ ἐάσαιεν εἰς τέλος ἀναγνωσθῆναι, μικροῦ δὲ καταλεύσαιεν τοὺς γραμματοφόρους, ἕως τούτου διεσάφησε. τὸ δ' ἀκόλουθον καὶ τὸ τῆς ἱστορίας ἴδιον ἀφεῖλε· τὸν ἔπαινον καὶ τὴν ἐπ' ἀγαθῷ μνήμην τῶν ἀξιολόγων προαιρέσεων.*

Id. II, 62, 1. Οὐ μὴν ἀλλὰ τούτοις ἑξῆς φησὶν, ἀπὸ τῶν ἐκ τῆς Μεγάλης πόλεως λαφύρων ἑξακισχίλια τάλαντα τοῖς Λακεδαιμονίοις πεσεῖν, ὧν τὰ δισχίλια Κλεομένει δοθῆναι κατὰ τοὺς ἐθισμούς.

Id. II, 63, 1. Τὸ δὲ συνεχὲς τούτῳ τίς οὐκ ἂν ἔτι μᾶλλον θαυμάσειε; ταῦτα γὰρ ἀποφαινόμενος λέγει· πρὸ τῆς παρατάξεως δέκα ἡμέραις μάλιστα τὸν παρὰ Πτολεμαίου πρεσβευτὴν ἐλθεῖν, ἀγγέλλοντα πρὸς τὸν Κλεομένην, διότι Πτολεμαῖος τὸ μὲν χορηγεῖν ἀπολέγει, διαλύεσθαι δὲ παρακαλεῖ πρὸς τὸν Ἀντίγονον. τὸν δ' ἀκούσαντα, φησὶ, κρῖναι, διότι δεῖ τὴν ταχίστην ἐκκυβεύειν τοῖς ὅλοις, πρὸ τοῦ συνιέναι τὰ προςπεπτωκότα τὰς δυνάμεις· διὰ τὸ μηδεμίαν ὑπάρχειν ἐν τοῖς ἰδίοις πράγμασιν ἐλπίδα τοῦ δύνασθαι μισθοδοτεῖν.

Ad explicationem horum locorum quae afferenda erant vid. in Proleg.

Plutarch. Arat. 38. Ὁμοίως δὲ καὶ Φύλαρχος ἱστόρηκε περὶ τούτων (diu ante meditatum Aratum de arcessendis Macedonibus Megalopolitanos eo subornasse), ᾧ μὴ τοῦ Πολυβίου μαρτυροῦντος οὐ πάνυ τι πιστεύειν ἄξιον ἦν. ἐνθουσιᾷ γὰρ, ὅταν ἅψηται τοῦ Κλεομένους ὑπ' εὐνοίας καὶ καθάπερ ἐν δίκῃ τῇ ἱστορίᾳ τῷ μὲν ἀντιδικῶν διατελεῖ τῷ δὲ συναγορεύων. Polyb. II, 48.

Plutarch. Pyrrh. 27. De fossa, qua munierant Lacedaemonii urbem suam contra Pyrrhum: Ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς πήχεων ἕξ, τὸ δὲ βάθος τεττάρων, τὸ δὲ μῆκος ὀκτάπλεθρον, ὡς ἱστορεῖ Φύλαρχος, ὡς δ' Ἱερώνυμος ἔλαττον. Intelligendus est Hieronymus ille Cardianus, quem in Pyrrho Plutarchum inprimis secutum esse, censet Heeren de font. Plut. p. 72.

Plutarch. Agis 9. Ὁ δὲ Φύλαρχος Ἀμύκλα θυγατέρα Δάφνην τοὔνομά φησιν ὑποφυγοῦσαν Ἀπόλλωνα βουλόμενον αὐτῇ μιγῆναι καὶ μεταβαλοῦσαν εἰς τὸ φυτὸν ἐν τιμῇ τοῦ θεοῦ γενέσθαι καὶ μαντικὴν λαβεῖν δύναμιν.

Mythus de Daphne nympha sedem pristinam suam ad Peneum fluvium in Thessalia habuisse videtur (Ovid. Met. I, 452), quo daphnephorica quoque ista, quae in Tempe valle celebrabantur, pertinent. Mueller Dor. I, p. 202. Doriensium autem fortasse in Laconicam invasione factum est, ut

huc quoque transferretur, ibique, quo Phylarchi ille locus spectare videtur, cum aliorum daemonum sacris copularetur. Vide Pausan. III, 26.

Id. Cleom. 5. *Οἱ δ' ἀνῃρηκότες πρότερον τὸν Ἆγιν αἰσθόμενοι τοῦτο, καὶ φοβηθέντες, μὴ δίκην δῶσι τοῦ Ἀρχιδάμου κατελθόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον κρύφα καὶ συγκατῆγον, εὐθὺς δ' ἀπέκτειναν, εἴτ' ἄκοντος τοῦ Κλεομένους, ὡς οἴεται Φύλαρχος, εἴτε πεισθέντος ὑπὸ τῶν φίλων καὶ προεμένου τὸν ἄνθρωπον αὐτοῖς* etc.

Id. Cleom. 28. *Φύλαρχος δὲ καὶ προδοσίαν γενέσθαι φησὶ τὴν μάλιστα τῷ Κλεομένει τὰ πράγματα διεργασαμένην. Τοῦ γὰρ Ἀντιγόνου τοὺς Ἰλλυριοὺς καὶ τοὺς Ἀκαρνᾶνας ἐκπεριελθεῖν κρύφα κελεύσαντος καὶ κυκλώσασθαι θάτερον κέρας, ἐφ' οὗ τεταγμένος ἦν Εὐκλείδας ὁ τοῦ Κλεομένους ἀδελφὸς, εἶτα τὴν ἄλλην ἐπὶ μάχῃ δύναμιν ἐκτάττοντος, ἀπὸ σκοπῆς θεωρῶν ὁ Κλεομένης, ὡς οὐδαμοῦ τὰ ὅπλα τῶν Ἰλλυριῶν καὶ τῶν Ἀκαρνάνων κατεῖδεν, ἐφοβήθη, μὴ πρός τι τοιοῦτον αὐτοῖς ὁ Ἀντίγονος κέχρηται, καλέσας δὲ Δαμοτέλη τὸν ἐπὶ τῆς κρυπτείας τεταγμένον, ὁρᾷν ἐκέλευε καὶ ζητεῖν, ὅπως ἔχει τὰ κατὰ νώτου καὶ κύκλῳ τῆς παρατάξεως. Τοῦ δὲ Δαμοτέλους (ἦν γὰρ, ὡς λέγεται, πρότερον χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος) ἀμελεῖν ἐκείνων εἰπόντος ὡς καλῶς ἐχόντων, τοῖς δὲ συνάπτουσιν ἐξ ἐναντίας προσέχειν καὶ τούτους ἀμύνεσθαι, πιστεύσας ἐπὶ τὸν Ἀντίγονον ἐχώρει καὶ τῇ ῥύμῃ τῶν περὶ αὐτὸν Σπαρτιατῶν ὠσάμενος τὴν φάλαγγα τῶν Μακεδόνων ἐπὶ πέντε που σταδίους ὑποχωρούντων ἐκβιαζόμενος καὶ κρατῶν ἠκολούθησεν. Εἶτα τῶν περὶ τὸν Εὐκλείδαν ἀπὸ θατέρου κυκλωθέντων ἐπιστὰς καὶ κατιδὼν τὸν κίνδυνον „Οἴχῃ μοι, φίλτατε ἀδελφέ", εἶπεν, „οἴχῃ γενναῖος ὢν καὶ παισὶ ζηλωτὸς Σπαρτιατῶν καὶ γυναιξὶν ἀοίδιμος".*

Id. Cleom. 30. *Οὐ μὴν ἀπεῖπεν* (Antigonus, quum post proelium ad Sellasiam aegrotans bello congressurus esset cum barbaris, qui Macedoniam invaserant), *ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερος ἀποθανεῖν, ὡς μὲν εἰκός ἐστιν καὶ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσαναῤῥήξας, ἐν δὲ ταῖς λέσχαις ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς „Ὦ καλῆς ἡμέρας" πλῆθος αἵματος ἀνήγαγε καὶ πυρέξας συντόνως ἐτελεύτησε.*

Id. Themistocl. 32. *Ὅ τε Φύλαρχος, ὥςπερ ἐν τραγωδίᾳ μόνον οὐ μηχανὴν ἄρας καὶ προαγαγὼν Νικοκλέα τινὰ καὶ Δημόπολιν, υἱοὺς Θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, ὃ οὐδ᾽ ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται.* Explicationem vid. in hoc ipso Plutarchi loco.

Id. Camill. 19. *Ἐνήνοχε δὲ καὶ ὁ Θαργηλιὼν μὴν τοῖς βαρβάροις ἐπιδήλως ἀτυχίας· καὶ γὰρ Ἀλέξανδρος ἐπὶ Γρανικῷ τοὺς βασιλέως στρατηγοὺς Θαργηλιῶνος ἐνίκησε, καὶ Καρχηδόνιοι περὶ Σικελίαν ὑπὸ Τιμολέοντος ἡττῶντο τῇ ἑβδόμῃ φθίνοντος, περὶ ἣν δοκεῖ καὶ τὸ Ἴλιον ἁλῶναι, ὡς Ἔφορος καὶ Καλλισθένης καὶ Δαμάστης καὶ Φύλαρχος ἱστορήκασιν.*

Id. de fortit. Alexandri, p. 342, D. *Ἐκ τούτου διέβαινεν, ὡς μὲν Φύλαρχός* (sic enim pro *Φίλαρχος* scribendum est) *φησιν, ἡμερῶν τριάκοντα ἔχων ἐφόδιον.*

Id. bellone an pace clariores Ath. fuerint, p. 345, E. *Οἱ δὲ ἄλλοι πάντες ἱστορικοί, Κλεινόδημοι, Δίυλοι, Φιλόχοροι, Φύλαρχοι* (pro *Φίλαρχοι*) *ἀλλοτρίων γεγόνασιν ἔργων ὥςπερ δραμάτων ὑποκριταί, τὰς τῶν στρατηγῶν καὶ βασιλέων πράξεις διατιθέμενοι, καὶ ταῖς ἐκείνων ὑποδυόμενοι μνήμαις, ἵνα ὡς αὐγῆς τινος καὶ φωτὸς μετάσχωσιν.*

Id. de Is. et Osir. p. 362, B. *Οὐδὲ Φυλάρχου μὴ καταφρονεῖν γράφοντος, ὅτι πρῶτος εἰς Αἴγυπτον ἐξ Ἰνδῶν Διόνυσος ἤγαγε δύο βοῦς, ὧν ἦν τῷ μὲν Ἄπις ὄνομα τῷ δὲ Ὄσιρις. Σάραπις δὲ ὄνομα τοῦ τὸ πᾶν κοσμοῦντός ἐστι, παρὰ τὸ σαίρειν, ὃ καλλύνειν τινὲς καὶ κοσμεῖν λέγουσιν. ἄτοπα γὰρ ταῦτα τοῦ Φυλάρχου· πολὺ δ᾽ ἀτοπώτερα* etc. Ad *οὐδὲ* intelligendum est ex antecedentibus *ἄξιόν ἐστι.*

Id. Symp. Qu. p. 680, D. *Καίτοι τούς γε περὶ τὸν Πόντον οἰκοῦντας πάλαι Θηβεῖς προςαγορευομένοις ἱστορεῖ Φύλαρχος, οὐ παιδίοις μόνον ἀλλὰ καὶ τελείοις ὀλεθρίους εἶναι. Καὶ γὰρ τὸ βλέμμα καὶ τὴν ἀναπνοὴν καὶ τὴν διάλεκτον αὐτῶν παραδεχομένους τήκεσθαι καὶ νοσεῖν.*

Praeterea qui commemorantur apud Plutarchum (Demosth. 27 et Symp. Qu. VII, p. 702, D) Phylarchi alios esse quam historicum apparet.

Schol. Apollon. II, 498. *Φησὶ δὲ αὐτὴν* (sc. *Κυρήνην*) *Φύλαρχός ἐλθεῖν μετὰ πλειόνων εἰς Λιβύην. Τούτων δὲ ἐκπεμφθέντων ἐπὶ τὴν κυνηγεσίαν, τούτοις καὶ αὐτὴν συνεξελθεῖν*

κἀκεῖ ἀνελεῖν τὸν λέοντα καὶ λαβεῖν τὴν βασιλείαν. Ἐγέννησε δὲ ἐξ Ἀπόλλωνος παῖδας δύο, Αὐτοῦχον καὶ Ἀρισταῖον. Ut superior ille (ad IV, 1561), ita hic quoque e septimo Phylarchi libro depromptus esse videtur. Müller Orch. p. 348. De interfecto a Cyrene leone paullo ante idem scholiastes: Ἀκέστωρ δὲ ἐν τοῖς περὶ Κυρήνης ἱστορεῖ, ὡς ἐπ' Εὐρυπύλου βασιλεύοντος Λιβύης ὑπὸ Ἀπόλλωνος διακομισθείη ἐς Λιβύην ἡ Κυρήνη· λέοντος δὲ τὴν χώραν λυμαινομένου, προθείη τὴν βασιλείαν ὁ Εὐρύπυλος ἆθλον τῷ ἀποκτενοῦντι τὸν λέοντα. Τὴν δὲ διαχρήσασθαι αὐτὸν καὶ τὴν βασιλείαν λαβεῖν. cf. Callim. in Apoll. 91. Idem Acestor Autuchum et Aristaeum filios dixerat Cyrenes. Alii nonnisi Aristaeum dicebant. Et haec fortasse prior fabula fuit. Aristaei qui fuit apud Ceos cultus in caussa fuisse videtur, ut alius Cyrenes filius fingeretur solique Cyrenae oppido vindicaretur. Phylarchi istis verbis adjecta sunt: Αὐτοῦχος μὲν ἐν Λιβύῃ ἔμεινεν, Ἀρισταῖος δὲ ἀφίκετο εἰς Κέω, et paullo ante legitur, Aristaeum fratrem Autuchi fuisse. Ἀλλ' ὁ μὲν ἐν Λιβύῃ, Ἀρισταῖος δὲ ἐν τῇ Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος, καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν.

Athen. I, p. 18, D. Φύλαρχος δὲ Σανδρόκυττόν φησι τὸν Ἰνδῶν βασιλέα Σελεύκῳ μεθ' ὧν ἔπεμψε δώρων ἀποστέλλειν τινας δυνάμεις στυτικὰς τοιαύτας, ὡς ὑπὸ τοὺς πόδας τιθεμένας τῶν συνουσιαζόντων οἷς μὲν ὁρμὰς ἐμποιεῖν ὀρνίθων δίκην, οὓς δὲ καταπαύειν.

Scripturam Σανδρόκυττος pro Σανδρόκυπτος vid. Dindorfium contra Schlegel. Ind. Bibl. I, p. 245 vindicantem. Add. p. XIX. — στυτικάς. Casaub. restituit e στυπτικάς. De his enim sermonem esse antecedentia significant: Θεόφραστος δὲ αὐτω φησί τινας ὀχευτικὰς δυνάμεις εἶναι, ὡς καὶ μέχρι ἑβδομήκοντα συνουσιῶν ἐπιτελεῖν καὶ τὸ τελευταῖον αὐτοῖς αἷμα ἀποκρίνεσθαι. Memorabantur enim περὶ τὰς συνουσίας περιεργίαι, ὥστ' ἐπιτεχνᾶσθαι σπόγγους ὑποτίθεσθαι· ἐπακτικὸν γὰρ εἶναι τὸ τοιοῦτον πρὸς ἀφροδισίων πλῆθος.

Athen. II, p. 43, F. Φύλαρχος δέ φησιν ἐν Κλείτορι εἶναι κρήνην, ἀφ' ἧς τοὺς πιόντας οὐκ ἀνέχεσθαι τὴν τοῦ οἴνου ὀδμήν.

Laudat Schweigh. Sotionem περὶ ποταμῶν καὶ κρηνῶν p. 139 et 140. extr. idem tradentem.

Athen. II, p. 44, B. *Φύλαρχός φησι Θεόδωρον τὸν Λαρισσαῖον ὑδροπότην γενέσθαι, τὸν ἀλλοτρίως ἀεί ποτε πρὸς Ἀντίγονον ἐσχηκότα τὸν βασιλέα. φησὶ δὲ καὶ τοὺς Ἴβηρας πάντας ὑδροποτεῖν, καίτοι πλουσιωτάτους ἀνθρώπων ὄντας. μονοσιτεῖν τε αὐτοὺς ἀεὶ λέγει διὰ μικρολογίαν, ἐσθῆτάς τε φορεῖν πολυτελεστάτας.*

Plenior hic locus ap. Constant. Porphyr. de adm. imp. c. 23: *Λέγονται οἱ Ἴβηρες ὑδροποτεῖν, ὡς Ἀθήναιος ἐν δειπνοσοφιστῶν β′ οὕτω· καὶ τοὺς Ἴβηράς φησιν ὑδροποτεῖν πάντας, καίτοι πλουσιωτάτους πάντων ἀνθρώπων τυγχάνοντας· κέκτηνται γὰρ ἄργυρον καὶ χρυσὸν πλεῖστον· μονοσιτεῖν τε αὐτοὺς ἀεὶ λέγει διὰ μικρολογίαν, ἐσθῆτάς τε φορεῖν πολυτελεστάτας.* Dindorf. Steph. Byz. v. *Ἰβηρίαι.* — *μονοσιτεῖν* i. q. *μονοφαγεῖν* semel de die cibum capere. Casaub. ad II, p. 47, C. D. De Theodoro isto, Antigoni (ut videtur Gonnatae) adversario, nihil, quod sciam, constat. Vide tamen Flathe Hist. Mac. II. p. 115.

Athen. II. p. 58, C. *Φύλαρχος ὁ Ἀθηναῖος ἢ Ναυκρατίτης, ἐν οἷς ὁ λόγος ἐστὶν αὐτῷ περὶ Ζηλᾶ τοῦ Βιθυνῶν βασιλέως, ὃς ἐπὶ ξενίᾳ καλέσας τοὺς τῶν Γαλατῶν ἡγεμόνας, ἐπιβουλεύσας αὐτοῖς καὶ αὐτὸς διεφθάρη, φησὶν οὕτως, εἰ μνήμης εὐτυχῶ „Πρόπομά τι πρὸ τοῦ δείπνου περιεφέρετο, καθὼς εἰώθει, τὸ πρῶτον.*

Gallos pater Zelae Nicomedes in auxilium advocatos ad Halym fluvium in Paphlagoniam deduxerat. — *πρόπομα* Plutarch. Symp. Qu. VIII, 9. p. 734, A. *μέγα δὲ καὶ τὸ τῶν καλουμένων προπομάτων. οὐδὲ γὰρ ὕδωρ οἱ παλαιοὶ πρὶν ἐντραγεῖν ἔπινον· οἱ δὲ νῦν ἄσιτοι προμεθυσθέντες, ἅπτονται τῆς τροφῆς διαβρόχῳ τῷ στόματι καὶ ζέοντι, λεπτὰ καὶ τομὰ καὶ ὀξέα προσφέροντες, ὑπέκκαυμα τῆς ὀρέξεως, εἶτα οὕτως ἐμφορούμενοι τῶν ἄλλων.* Comparanda autem sunt, quae paullo antea leguntur ap. Athenaeum: *τούτου* (sc. *τοῦ προπόματος*) *φησὶ περιενεχθέντος ὁ τῶν δείπνων ταμίας Οὐλπιανὸς ἔφη, εἰ κεῖται παρά τινι τὸ πρόπομα οὕτω καλούμενον, ὡς νῦν ἡμεῖς φαμεν. καὶ ζητούντων πάντων, Αὐτὸς, ἔφη, ἐγὼ ἐρῶ. Φύλαρχος* etc. Memorantur etiam in seqq. (c. 52 sq.) *τὰ ἐν τοῖς προπόμασι παρασκευαζόμενα.*

Athen. III. p. 73, B. *Φύλαρχος δέ φησιν „Οὐδέποτε πρότερον ἐν οὐδενὶ τόπῳ κυάμων Αἰγυπτίων οὔτε σπαρέντων,*

οὔτ᾽, εἰ σπείρειέ τις τικτομένων, εἰ μὴ κατὰ Αἴγυπτον, ἐπὶ τοῦ βασιλέως Ἀλεξάνδρου τοῦ Πύῤῥου παρὰ τὸν Θύαμιν ποταμὸν τῆς ἐν Ἠπείρῳ Θεσπρωτίας ἐν ἕλει τινὶ συνέβη φυῆναι. δύο μὲν οὖν ἤνεγκέ πως ἔτη καρπὸν ἐκτενῶς καὶ ηὔξησε. τοῦ δ᾽ Ἀλεξάνδρου φυλακὴν ἐπιστήσαντος καὶ κωλύοντος οὐχ ὅτι λαμβάνειν τὸν βουλόμενον, ἀλλὰ μηδὲ προσέρχεσθαι πρὸς τὸν τόπον, ἀνεξηράνθη τὸ ἕλος, καὶ τὸ λοιπὸν οὐχ ὅτι τὸν προειρημένον ἤνεγκε καρπόν, ἀλλ᾽ οὐδὲ ὕδωρ, εἴ ποτε ἔσχε, φαίνεται. τὸ παραπλήσιον ἐγένετο καὶ ἐν Αἰδηψῷ. χωρὶς γὰρ τῶν ἄλλων ὑδάτων ναμάτιόν τι ἐφάνη ψυχρὸν ὕδωρ προϊέμενον οὐ πόῤῥω τῆς θαλάσσης. τούτου πίνοντες οἱ ἀῤῥωστοῦντες τὰ μέγιστα ὠφελοῦντο· διὸ πολλοὶ παρεγίνοντο καὶ μακρόθεν τῷ ὕδατι χρησόμενοι. Οἱ οὖν τοῦ βασιλέως Ἀντιγόνου στρατηγοὶ βουλόμενοι οἰκονομικώτεροι εἶναι διάφορόν τι ἔταξαν διδόναι τοῖς πίνουσι, καὶ ἐκ τούτου ἀπεξηράνθη τὸ νᾶμα. καὶ ἐν Τρωάδι δὲ ἐξουσίαν εἶχον οἱ βουλόμενοι τὸν πρὸ τοῦ χρόνον τὸν Τραγασαῖον ἅλα λαμβάνειν, Λυσιμάχου δὲ τέλος ἐπιβαλόντος ἠφανίσθη. θαυμάσαντος δὲ καὶ ἀφέντος τὸν τόπον ἀτελῆ πάλιν ηὐξήθη.

De fabis Aegyptiacis, quarum apud Aegyptios lotus, apud Naucratitas melilotus nomen fuit, multus est ipse Athenaeus p. 72 et 73, A. Restringenda autem sunt, quae de fabis illis nusquam nisi in Aegypto provenientibus Phylarchus dixit, iis, quae e Theophrasto laudantur: γίνεται δὲ καὶ ἐν Συρίᾳ καὶ κατὰ Κιλικίαν, ἀλλ᾽ οὐκ ἐκπέττουσιν αἱ χῶραι· καὶ περὶ Τορώνην τῆς Χαλκιδικῆς ἐν λίμνῃ τινὶ μετρίᾳ τῷ μεγέθει, καὶ αὕτη πέττει καὶ τελεοκαρπεῖ. p. 72, D. — De thermis, quae Aedepsi in Euboea fuerunt, Strabo I, p. 60. Cas. (95 ster.) Δημήτριος δ᾽ ὁ Καλατιανὸς τοὺς καθ᾽ ὅλην τὴν Ἑλλάδα ποτὲ γενομένους σεισμοὺς διηγούμενος, τῶν δὲ Λιχάδων νήσων καὶ τοῦ Κηναίου τὰ πολλὰ καταδῦναί φησι, τά τε θερμὰ τὰ ἐν Αἰδηψῷ καὶ Θερμοπύλαις ἐπὶ τρεῖς ἡμέρας ἐπισχεθέντα πάλιν ῥυῆναι· τὰ δ᾽ ἐν Αἰδηψῷ καὶ καθ᾽ ἑτέρας ἀναῤῥαγῆναι. cf. IX, p. 425 Cas., X, p. 445, — χωρὶς γὰρ τῶν ἄλλων etc. Praeter aquas igitur calidas, quae proveniebant ibi, etiam frigidae fons exstiterat, saluber et ipse aegrotantibus. — Praetuli scripturam Αἰδηψός quae apud Strabonem est. — διάφορόν τι stipendium quoddam. Casaub. ad Theophr. Char. c. X, p. 125 ed. Fischer. Index Polyb. v. διάφορος. Steph.

Thes. cum addit. G. Dindorfii. — *Τραγ. ἅλες* Strabo XIII, p. 605 Cas. Hesych v. *Τραγάσαι* ibiq. Palmerius. Steph. Byzant. qui Lesbicum oppidum vocat, monet tamen alio loco, Tragasas esse in continente.

Athen. XII, p. 526. A. *Κολοφώνιοι, ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν, πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προῄεσαν διησκημένοι τὰς κόμας χρωσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν*

Ἀφροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
Ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
Ἤιεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
Οὐ μείους ἤπερ χίλιοι εἰς ἐπίπαν·
Αὐχαλέοι χαίτῃσιν ἀγαλλόμεν' εὐπρεπέεσσιν
Ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

οὕτω δ' ἐξελύθησαν διὰ τὴν ἄκαιρον μέθην, ὥστε τινὲς αὐτῶν οὔτε ἀνατέλλοντα τὸν ἥλιον οὔτε δυόμενον ἑοράκασιν. νόμον τε ἔθεντο, ὃς ἔτι καὶ ἐφ' ἡμῶν ἦν, τὰς αὐλητρίδας καὶ τὰς ψαλτρίας καὶ πάντα τὰ τοιαῦτα τῶν ἀκροαμάτων τὰ μισθώματα λαμβάνειν ἀπὸ πρωῒ μέχρι μέσου ἡμέρας καὶ μέχρι λύχνων ἀφῶν· ἀπὸ δὲ τούτου τὴν λοιπὴν νύκτα ἦσαν πρὸς τῷ μεθύειν.

De Colophoniorum potentia maxime navali et equestri: Strabo XIV, c. 1. p. 179 ster. Paus. VII, 5. 1. Mentionem ut faceret eorum, adductus esse videtur Phylarchus urbis, quam fortasse narraverat, per Lysimachum devastatione. Pausan. VII, 3, 1 *Κολοφωνίοις δὲ ὅπως μὲν τὴν πόλιν συνέπεσεν ἐρημωθῆναι, προεδήλωσέ μοι τοῦ λόγου τὰ ἐς Λυσίμαχον. ἐμαχέσαντο δὲ Λυσιμάχῳ καὶ Μακεδόσι Κολοφώνιοι τῶν ἀνοισκισθέντων εἰς Ἔφεσον μόνοι.* Respexit videlicet, quae dixerat I, 9, 8. de Lysimachi rebus: *διέβη δὲ καὶ ναυσὶν ἐπὶ τὴν Ἀσίαν, καὶ τὴν ἀρχὴν τὴν Ἀντιγόνου συγκαθεῖλε συνῴκισε δὲ καὶ Ἐφεσίων ἄχρι θαλάσσης τὴν νῦν πόλιν, ἐπαγόμενος ἐς αὐτὴν Λεβεδίους τε οἰκήτορας καὶ Κολοφωνίους, τὰς δὲ ἐκείνων ἀνελὼν πόλεις, ὡς Φοίνικα ἰάμβων ποιητὴν Κολοφώνιον θρηνῆσαι τὴν ἅλωσιν* etc. Rem omisit Flathe II, p. 48. — Pro *ἄνευ* in secundo versu Xenophanis sensus poscere videtur *ἐπί,* quod in duobus cod. ap. Dindf. est, neque

integrum ἄνευ in ullo legitur. — Caeterum Xenophanis versus ipse haud dubie Phylarchus laudaverat, unde sequentia etiam usque ad Θεόπομπος recte nobis ei tribuere videmur. Constat autem, alioquin haec de Sybaritis dici.

Phrynichus p. 425. ed. Lobeck. *Καθώς· Γάϊός τις Ἀρεθούσιος γραμματικὸς ἔφασκε δόκιμον εἶναι τοὔνομα· κεχρῆσθαι γὰρ αὐτῷ Φύλαρχον. ὢ τοῦ μάρτυρος, ὡς ἔοικε, τοῦ ἐπαγομένου. ὃς οὐδὲ Θουκυδίδου ἤκουσε λέγοντος καθὸ δεῖ εἰς Σικελίαν πλεῖν* etc. Bis illud *καθώς* in fragmentis nostris reperitur.

Aelian. H. A. VI, 29. *Φύλαρχος μέμνηται παῖδα ἰσχυρῶς φιλόρνιθα ἀετοῦ νεοττὸν λαβεῖν δῶρον, καὶ τρέφειν τροφῇ ποικίλῃ, καὶ κηδεμονίαν αὐτῷ προςφέρειν πᾶσαν. Οὐ γάρ τί που ὡς ἄθυρμα εἰς παιδιὰν ἔτρεφε τὸν ὄρνιν, ἀλλὰ ἐρωμένου δίκην ἢ ἀδελφοῦ νεωτέρου, οὕτως ἄρα ὁ παῖς τοῦ ἀετοῦ προμηθῶς εἶχεν. Καὶ προϊὼν δὲ χρόνος εἰς φιλίαν αὐτοὺς ἐξῆψεν ἀλλήλων ἰσχυράν. Συνηνέχθη δὲ καμεῖν τὸ σῶμα τὸν παῖδα καὶ τὸν ἀετὸν παραμένειν, καὶ νοσηλεύειν τὸν τροφέα· καὶ καθεύδοντος μὲν ἡσυχάζειν, ἐγρηγορότος δὲ παρεστάναι, ἀσιτοῦντος δὲ τροφὴν μὴ προςίεσθαι· ἐπεὶ δὲ καὶ τὸν βίον ὁ παῖς κατέστρεψεν, ἠκολούθησε καὶ ὁ ἀετὸς μέχρι τοῦ μνήματος· καιομένου δέ γε, ἑαυτὸν εἰς τὴν πυρὰν ἐνέβαλεν.*

Jacobs Tom. II. p. 224. Eadem historia ex Aeliano ap. Tzetz. Chil. IV, 134. v. 288.

Suidas v. *Λευκὴ ἡμέρα· ἡ ἀγαθὴ καὶ ἐπ' εὐφροσύνῃ.* — *ἀπὸ τῆς παροιμίας τῆς λεγούσης Τῶν εἰς φαρέτραν. Φύλαρχος γάρ φησι, τοὺς Σκύθας μέλλοντας καθεύδειν, ἄγειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην διαγαγόντες, καθιέναι εἰς τὴν φαρέτραν ψῆφον λευκήν, εἰ δὲ ὀχληρῶς, μέλαιναν. ἐπὶ τοίνυν τῶν ἀποθνησκόντων ἐκφέρειν τὰς φαρέτρας καὶ ἀριθμεῖν τὰς ψήφους· καὶ εἰ εὑρεθείησαν πολλαὶ λευκαί, εὐδαιμονίζειν τὸν ἀπογενόμενον. ὅθεν καὶ ἡ παροιμία.* cf. Zenob. Adag. *τὰς ἐν φαρέτρᾳ ψηφῖδας* et Suid. *τῶν εἰς φαρέτραν*, ubi Phylarchi idem locus repetitur.

Athen. XIV, p. 639, D. *Κῷοι δὲ τοὐναντίον δρῶσιν, ὡς ἱστορεῖ Μακαρεὺς ἐν τρίτῳ Κῳακῶν. ὅταν γὰρ τῇ Ἥρᾳ θύωσι, δοῦλοι οὐ παραγίνονται ἐπὶ τὴν εὐωχίαν. διὸ καὶ Φύλαρχον εἰρηκέναι*

Σουριηι μοῦνοι μὲν ἐλεύθεροι ἱεροεργοὶ
Ἀνδράσι πρὸς κείνοισιν, ἐλεύθερον ἆμαρ ἔχοντες.
Δούλων δ' οὔτις πάμπαν ἐςέρχεται οὐδ' ἠβαιόν.

De sacris igitur sermo est, quae Junoni apud Coos fiebant, quibus non interfuerint nisi liberi homines. Idem traditur eodem Macareo teste VI, p. 262, C: *ὁπόταν τῇ Ἥρᾳ θύωσιν οἱ Κῷοι, οὔτε εἴςεισιν εἰς τὸ ἱερὸν δοῦλος οὔτε γεύεταί τινος τῶν παρεσκευασμένων.* Corruptela, qua laborat hic locus, non solum ad *Σουριηι* illud, quod Dalecampius ingeniose in *Νισύριοι* emendavit, sed etiam ad *ἐλεύθεροι* pertinere videtur, propter tautologiam in sequ. versu. Sed ne constat quidem, nec unde depromptus hic locus, nec Phylarcho num historiarum auctori vindicandus sit.

TYPIS GRASSII, BARTHII ET SOCII.




Gp 74.10
Historiarum reliquiae.
Widener Library
006327428
3 2044 085 146 793